FRANCKESCHE STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Tu Makariu Theodōritu Episkopu Kyru Hermēneia Eis Tus Psalmus

### Theodoretus <Cyrrhensis>

### En Chalē tē Magdeburgikē, Et. 1768.

### VD18 13072730

[I.]

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downloaded and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-212535

Visual Library

# ΒΙΟΣ

ΤΟΥ

# ΜΑΚΑΡΙΟΥ ΘΕΟΔΩΡΙΤΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ

ΣΥΓΓΡΑΦΕΙΣ

ΥΠΟ

ΕΥΓΕΝΙΟΥ ΔΙΑΚΟΝΟΥ

ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ.

Franckesche Stiftungen zu Halle

Franckesche Stiftungen zu Halle

Θεοδωρίτου, καλὸν μὲν ἐνδιατρίβειν συχνὰ τοῖς Συγγράμμασι, καὶ τῶν ἐκεῖθεν λειμώνων καὶ παραδείσων ἀφθόνως ἀποτρυγᾷν· Καλὸν δὲ καὶ τὰ τῆς βιοτῆς ἱστορεῖν, καὶ εἰδέναι τὸν Ἄνδρα, ὅστις μὲν γεγονώς, ὅπως δὲ καὶ πολιτευσάμενος, εἰς τοσοῦτον ἤλασεν εὐκλείας καὶ δόξης, ὥστε τοῖς ἄκροις καὶ πρώτοις τῶν ἐν τῇ Ἐκκλησίᾳ διαπρεψάντων Πατέρων ἐφάμιλλος ἀνακηρυχθῆναι. Κἂν ἄλλως τῷ ὑπερβάλλοντι ζήλῳ τοῦ (ὡς ἐδόκει) τὸν λόγον ὀρθοτομεῖν, μικροῦ καὶ τῆς ὀρθότητος ἀπεσφάλη παραῤῥυείς, καὶ τῇ ἀμετρίᾳ τῆς ἀνθολκῆς, ἐπὶ τὸ ἀντίθετον τῆς ἀτοπίας εἰς κίνδυνον ἦλθε παρενεχθῆναι, ἣν ἐκ παντὸς τρόπου ἐκκλίνειν ἐσπούδαζε. Θεωρίας μὲν οὖν ὕψει, καὶ λόγων κάλλεσι, καὶ Σοφίας πλούτῳ τῆς τε καθ᾽ ἡμᾶς, καὶ τῆς θύραθεν ἀμφιλαφῶς κομῶν, καὶ παρὰ πᾶσι μεγαλυνόμενος, οὐ μετὰ πολλοὺς τὰ πρῶτα φέρειν ὁ Ἀνὴρ μεμαρτύρηται. Βίου δὲ ἁγνίᾳ καὶ καθαρότητι, καὶ ὁσιότητι τρόπου, καὶ τῇ ἄλλῃ τοῦ πολιτεύματος ἀκριβείᾳ, τῶτε ὑπὲρ τῆς εὐσεβείας διαπύρῳ ζήλῳ, καὶ τοῖς ὑπὲρ αὐτῆς ἀγωνίσμασιν, οὐ πάνυ ῥᾴδιον εὑρεῖν οἶμαι, ὅτου ἄν τις τοῦτον τάξειε δεύτερον. Ἀλλ᾽ ὅπως μὲν

αὐτῷ ὁ θεωρητικὸς βίος εἰς ἀκρότητα βλέπων ἐτύγχανεν, ἐξ αὐτῶν αὐτοῦ τῶν φιλοπονημάτων, ὧν ὡς ἡμᾶς ἐφείσατο παραπέμψας ὁ χρόνος, ῥᾴδιον καταμαθεῖν. Οὐδὲν γὰρ, ὡς εἰπεῖν, τῆς θειοτέρας εἶδος διδασκαλίας ἐστὶν ἐχόμενον, ὃ μὴ τοῖς μυηθῆναι βουλομένοις ἐκ τῶν ἐκείνου πρόκειται λαβεῖν δαψιλῶς, εἰς κάλλος τοῦτο καὶ ἀκρίβειαν ἀπεξεσμένον· Ὅ,τιπερ εἰς ἑρμηνείαν ἥκει τῶν Θεοπνεύστων Γραφῶν· Καὶ ὅσον ἐπὶ τὴν ἀκρώρειαν τῆς Ἱερᾶς Θεολογίας ἀναβαίνει· Καὶ ὅσον εἴσω τοῦ γνόφου γενέσθαι τῆς ἀπορρήτου οἰκονομίας ἀποτολμᾷ· Καὶ ὅσα ἐν τῇ Ἐκκλησίᾳ ἐφ' ἱκανὸν τοῦ χρόνου ἐγένετο συμπεσεῖν· Καὶ ὅσοι τὴν ἐρημικὴν ἐπ' ἐκείνου φιλοσοφίαν ἀσκήσαντες, οὐδὲν ἧττον τοῖς σκάμμασιν, ἢ τοῖς δι' αὐτῶν παραδόξως τελουμένοις θαυμασίοις διέλαμψαν· Ὅσατε δὴ κατὰ τῆς τῶν Ἑλλήνων πλάνης, καὶ τῆς τῶν Αἱρετικῶν γλωσσαλγίας, ὁ τοῦ πνεύματος ὀρθόστε καὶ ἀκέραιος προβάλλεται λόγος· Καὶ συνελόντι φάναι, ὅσα δήποτε ἐπὶ στηριγμῷ τῆς ἀμωμήτου θρησκείας, καὶ πρὸς οἰκοδομὴν τῶν κατ' αὐτὴν εὐσεβῶστε καὶ ἀμέμπτως βιοῦν αἱρουμένων, φέροντα συντελεῖ. Ἀλλὰ ταῦτα μὲν ἐν ταῖς τοῦ Πατρὸς Πυκτίσι δαψιλῶς ἀπόκειται τεθησαυρισμένα· Καὶ δεῖ μὲν ἐπ' αὐτὰς συνεχῶς καὶ μετὰ προθυμίας ἀνατρέχειν, δεῖ δὲ ταύτας ἐπιμελῶστε καὶ φιλοπόνως ἀναπτύσσειντε καὶ ἀνελίττειν, τὸν, ὅσος μὲν προσῆν ἐκείνῳ ὁ τῆς γνώσεως πλοῦτος ἐθέλοντα κατιδεῖν, ἐπὶ ποσὸν δὲ καὶ αὐτὸν μετασχεῖν τοῦ τοιοῦδε ὀριγνώμενον πλούτου, δι' οὗ μάλιστα τὸ εἰς Θεὸν πλουτεῖν περιγίνεται. Ἐμοὶ δ' ἡ πρόθεσις ἐπὶ τοῦ παρόντος, τὰ βεβιωμένα τῷ Πατρὶ παραδοῦναι τῷ λόγῳ· Καὶ οἷος μὲν αὐτὸς, καὶ ἐξ οἵων γένοιτο φύς· Παρ' οἷς δὲ, καὶ ὅπως ἀχθείστε καὶ παιδευθείς· Καὶ ὁποίαν τοῦ βίου προαίρεσιν ἐπανῃρημένος· Καὶ ὡς αὐτὴν μετιὼν διαγάγοι ἐς τέλος, καὶ τὸν ἐπὶ γῆς δίαυλον ἄχρι τερμάτων τοῦ ζῆν σταδιεύσειεν· Ἅ,τε ἐν αὐτῷ τούτῳ διαπράξαιτο, τὰ μὲν δράσας, τὰ δὲ καὶ παθὼν, καὶ τῆς ἐπ' ἀμ-



Franckesche Stiftungen zu Halle

φω πεῖρας ἐφ' ἱκανοῦ γεγευμένος. Ὅσατε συγγράψειεν ἐν μέρει, καὶ
τούτων τινὰ τὰ καθ' ἡμᾶς σωζόμενα ἐστὶ, καὶ τινὰ ἄττα τῷ χρόνῳ γεγό-
νοι ἐξίτηλα, πάντα ὅσον ἅλις καθιστορῆσαι. Ἃ δὴ, τὰ μὲν ἐκ τῶν
αὐτοῦ συλλεξάμενος, τὰ δὲ ἐκ τῶν περὶ αὐτοῦ συγγραψάντων, κατὰ τὸ
ἱκανὸν (ὡς γοῦν ἐμοὶ δυνατὸν) παραθήσομαι, ὅθεν προσῆκον, ἔνθεν ἑλών.

Θεοδώριτος Σύρος μὲν ἦν γένος· Πατρὶς δὲ αὐτῷ ἡ τῆς κα-
τὰ Συρίαν Σελευκίδος προκαθημένη πόλις, Ἀντιόχεια ἡ πρὸς τῷ
Ὀρόντῃ· Αἵ καὶ ἐκεῖνο τοῦ χρόνου Συριάδες Ἀθῆναι· Τὸ τῆς Ἑῴας λή-
ξεως περιφανὲς παιδευτήριον· Ἡ πολλῶν Ἀνδρῶν καὶ ἀξιαγάστων ἐπίτε
σοφίᾳ, καὶ λόγοις, καὶ ἀρετῇ, καὶ ὁσιότητι βίου ἀγαθὴ τιθήνη καὶ μή-
τηρ· Οἱ δὲ τοκεῖς αὐτῷ, οὐ τῶν ἐν Ἀντιοχεῦσι πολλῶν τινὲς, οὐδὲ τῶν
κομιδῇ ἀδόξων, ἀλλὰ καὶ γένους ἔχοντες οὐκ ἀσήμως, καὶ πλούτου εὐθηνούμε-
νοι περιουσίᾳ, καὶ τὸ δὴ μέγιστον καὶ τοῦ παντὸς ἄξιον, τὴν κατὰ Χριστὸν ὀρ-
θήν τε καὶ ἀμώμητον θρησκεύοντες δόξαν, καὶ τῇ κατ' αὐτὴν τοσούτῳ δια-
φέροντες εὐσεβείᾳ, ὡς καὶ ἐπακούοντος ἑτοίμως πειρᾶσθαι Θεοῦ, καὶ τῆς
ἄνωθεν ἀπολαύειν ῥοπῆς καὶ ἐπικουρίας, ἐφ' οἷς τὰ μὲν καθ' ἑαυτοὺς δεό-
μενοι, τὰ δὲ καὶ διὰ τῶν ἐκείνου θεραπόντων ἱκέται καθίσαντο. Ὁ μὲν
οὖν Πατὴρ ἐπὶ στερίφῃ τῇ γαμετῇ δυστυχῶν, καὶ τῇ συμφορᾷ τῆς ἀ-
παιδίας πληττόμενος, οὐκ ἄλλοθεν ἢ παρὰ Θεοῦ, παρ' οὗ πᾶσα πα-
τριὰ ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, πεποιθὼς ἐτύγχανεν ἀκοῦσαι πατήρ. Διὸ καὶ Φιλοθ. Ἰσ. Κεφ. ΙΖ.
πάντοσε περινοστῶν ἱκέτευε τοὺς θείους θεράποντας, αἰτῆσαι οἱ παρὰ τοῦ
Θεοῦ παῖδας· ὧν οἱ μὲν ἄλλοι ἱκέτῃ γενομένῳ παρεῖχον μέντοι καὶ ἐλπί-
ζειν, τὴν ἐπὶ τούτῳ πρεσβείαν ἑαυτῶν ὑπισχνούμενοι, παρῄνουν δὲ καὶ εὐγνω-
μόνως φέρειν τὴν ἀτεκνίαν, καὶ, εἴπερ ἄλλως δόξειε τῷ κρείττονι τῇ αἰ-
τήσει μὴ ἐπινεύσειν, στέργειν αὐτὸν τὸ θεῖον βούλημα παρηγγύων.

Μακεδόνιος δὲ ὁ θαυμαστὸς ἐκεῖνος, ὁ δι' ἐτῶν ἑβδομήκοντα
ἐπὶ τῆς ἀσκητικῆς Παλαίστρας ἠγωνισμένος, καὶ διαῤῥήδην τὴν αἴτησιν ἐ-


πηγ-

Αὐτ. „ πηγγείλατο, καὶ υἱὸν ἕνα παρὰ τοῦ τῶν ὅλων δημιουργοῦ λήψεσθαι ὑπισχ-
αὐτ. „ νεῖτο. ὡς δὲ καὶ τριῶν ἔτι τὸ ἀπ' ἐκείνου διελθόντων ἐνιαυτῶν, τὸ τῆς
ἐπαγγελίας τοῦ Πατὴρ γενέσθαι οὐκ ἔβλεπε τέλος, πάλιν ἔτρεχε τὴν
ὑπόσχεσιν ὡς ὀφειλὴν ἄντικρυς ἀπαιτῶν, καὶ τὴν προθεσμίαν τῆς δωρεᾶς
τῇ πληροφορίᾳ τῆς πίστεως ἔμπρακτον ὑπέστρεφε κομιζόμενος. Ἀλλ' ὁ
μὲν Πατὴρ οὕτως· Ἡ δὲ δὴ μήτηρ τρία καὶ τοι ἐπὶ δέκα ἔτεσιν ἄγονος
τῷ Ἀνδρὶ συνοικοῦσα, ῥᾷον φέρουσα τὴν ἀφορίαν τῆς στειρώσεως, καὶ μὴ πά-
νυ λίαν ἐπὶ ταύτῃ ἀνιωμένη, οὐχ ὅπως τῆς τοῦ θήλεος ἀσθενείας, ἀλλὰ
δὴ καὶ τοῦ ὁμόζυγος αὐτοῦ γενναιότερόν τι φρονεῖν ἐδόκει καὶ ὑψηλότε-
ρον. Τὰ γάρτοι Θεῖα πεπαιδευμένη, τοῦτο συμφέρον ἐπίστευε· Τὸ μὲν
μήτηρ εἶναι ἐν δευτέρῳ τιθεμένη, τῷ θείῳ δὲ καθυπείκειν θελήματι
αὐτὸ πρῶτον ἡγουμένη, καὶ θεοσεβείας τῷόντι κεφάλαιον. Μηδὲ γὰρ εἶ-
ναι τι, τῶν οἷς ὁ παρὼν εὐροεῖν πιστεύεται βίος, ὃ μὴ πρὸς ἀρετὴν, καὶ τὴν
ἐκ ταύτης ὄνησιν παρακριθὲν, μηδὲ λόγου τοῖς εὐσεβοῦσι γένοιτο ἄξιον.
Ἔοικε δὲ εἰς τοῦτο τελειότητος ὑπὸ Πέτρου τοῦ Γαλάτου (ἑνὸς ὄντος
τῶν ἐπ' ἀσκήσει τότε περιβοήτων) πρῶτον ποδηγηθῆναι· κατὰ μὲν
περίστασιν σωματικὴν πρὸς αὐτὸν ἀφιγμένη, οὐδὲν δ' ἐλάσσονα τῆς πε-
ρὶ τὸ σῶμα, τὴν ψυχικὴν ὠφέλειαν ἀποκερδάνασα. Ἐπειδὴ γὰρ πά-
θος αὐτῇ θατέρῳ τῶν ὀφθαλμῶν σφοδρῶς ἐπισκῆψαν, πᾶσαν τε τὴν ἐκ
τῆς τέχνης ὑπερβαῖνον βοήθειαν, ἐπὶ τὸν θεῖον Ἄνδρα σπεύδειν ἠνάγκα-
Φιλοθ. „ ζε τευξομένην ἰάσεως· Προσῆλθε δὲ, ἕρματα περικειμένη, καὶ πε-
Ἱσ. Κεφ. „ ριδέραια, καὶ τ' ἄλλα χρυσία, καὶ τὴν ποικίλην ἐσθῆτα τὴν ἐκ σηρικῶν
ΙΘ. „ νημάτων ὑφασμένην· (οὐδέπω γὰρ τῆς ἀρετῆς τῆς τελειοτέρας ἐγένετο·
„ ἤνθει δὲ καὶ τῷ χρόνῳ, καὶ τοῦ τῆς νεότητος ἠνείχετο κόσμου.) Ταῦτα
θεασάμενος ἡ θεσπεσία κεφαλὴ, τῆς φιλοκοσμίας πρότερον τὴν ἀῤῥω-
στίαν αὐτῇ ἐξιάσατο, προσφυέσι τε καὶ προσφόροις ταῖς ὑποθήκαις οἷα
Αὐτ. αὐτ. „ φαρμάκοις δραστηρίοις χρησάμενος. Οἴκαδε γὰρ ἐπανελθοῦσα τό

„ τε

„ τε φάρμακον εὐθὺς ἀπενίψατο, καὶ τὸν ἐπείσακτον ἅπαντα ἀποῤῥίψα-
„ σα κόσμον, κατὰ τοὺς ὑπὸ τοῦ Ἰατροῦ τεθέντας νόμους ἐπολιτεύετο,
„ οὔτε ποικίλην ἐσθῆτα τοῦ λοιποῦ περιβαλλομένη, οὔτε χρυσίοις ὡραϊ-
„ ζομένη, οὐδέτῳ ἄλλῳ τῶν ἐπιθέτων κόσμων τε καὶ καλλωπισμάτων, πε-
ρὶ ἃ τὸ θῆλυ γένος ἐπτόηται, τὴν εἰκόνα τοῦ Δημιουργοῦ καταισχύνουσα. Τοσοῦτον ἡ ἄνθρωπος τῆς τοῦ μεγάλου Πέτρου διδασκαλίας εὐθὺς ἐκ πρώτης ἀπώνατο τῆς ἐντεύξεως· οὕτωτε ῥᾳδίως ἦν τῆς ἐκείνου σαγήνης ἐντὸς, καὶ τὴν τῶν νοερῶν ὀφθαλμῶν θεραπείαν πάρεργον εὗρεν, ἐν ᾧ τοῦ αἰσθητικοῦ προσῄει τὸ ἄκος μαστεύουσα. Ἦν δὲ ἄρα, οὐ τοσοῦτον ὠφεληθεῖσα μόνον, οὐδ' ἐνταῦθαπου μείνασα, ὡς τὸ γυναικείας ματαιότητος καὶ χλιδῆς κρείσσων ὀφθῆναι, ἕνα τοῦτον ἀρετῆς ὅρον ἑαυτῇ περιγράψασθαι, ἀλλ' ἤδη καὶ τοῖς κορυφαιοτάτοις τῶν ἐπὶ γῆς τὴν οὐράνιον ἀγωγὴν πολιτευομένων θαμὰ προσφοιτῶσα, καὶ συνήθης αὐτοῖς γινομένη καὶ γνώριμος, ἐντεῦθεν καὶ ὡς παράδειγμα πρὸς τὸ αὐτῶν πολίτευμα διετέλει βλέπουσα, καὶ τὸν ἀσκητικὸν τοῦ λοιποῦ βίον ἀσπαζομένη πρὸς τὸν ἐκείνων τρόπον ἑαυτὴν ἀπεῤῥύθμιζεν. Ἡδονῆστε γὰρ καὶ τρυφῆς ἁπάσης τὸ τῆς ἐγκρατείας καλὸν ἀνταλλαξαμένη, συντόνως οὕτω καὶ ἀνενδότως εἴχετο τῆς νηστείας, ὡς τὴν τῶν εὐχυλοτέρων σιτίων ἀνάληψιν, μηδ' ἀπειρηκότι γοῦν ἐπιτρέπειν τῷ σαρκίῳ, καὶ κακῶς ἔχοντι. Ὁ δὴ μαθὼν ποτὲ Μακεδόνιος ὁ ῥηθεὶς, ᾧ κριθοφάγος ἐπώνυμον ἐκ τῆς ἐπὶ τεσσαράκοντα ἔτεσι κριθοφαγίας (ἣν τὰς κριθὰς πτίσσουσα, καὶ μόνῳ ὕδατι δεύουσα, ἐπὶ πλεῖστον ἐκείνῳ καὶ αὐτὴ παρεσκεύασέ τε καὶ διεχορήγησε χρόνον·) πρὸς αὐτὴν ἀῤῥωστοῦσαν ἀφικόμενος, τροφῆστε καταλλήλου τῇ νόσῳ ἀνέπειθεν ἅψασθαι, καὶ εἶξαι παρῄνει τοῖς Ἰατροῖς, ὅσα καὶ φάρμακον συντελεῖν νομίζουσαν οὕτως ἐχέσῃ τὰ προσφερόμενα. Ἐμοὶ δὲ κἀκεῖνο τῆς γυναικὸς θαυμαστὸν, καὶ οἷον σαφῶς ἐπιδεῖξαι ὅπως ἦν ὅλη τοῦ πνεύματος· ὅτι καὶ τὴν λύσιν τῆς σειρώσεως διαῤῥήδην θεόθεν αὐτῇ

τοῦ θεσπεσίου Ἀνδρὸς ἐπαγγελλομένου, καὶ ὡς προσήκοι τὸ παιδίον τῷ
δεδωκότι ἀντιδοθῆναι προστιθέντος, ἡ δὲ σωτηρίαν ψυχῆς μόνην ἀντιβο-
Θεοφ. Ἰς. Κεφ. ΙΓ'. „ λῶ λαβεῖν ἀπεκρίνατο, καὶ τὴν τῆς γεέννης ἀπαλλαγήν· οὕτως ἀνωτέρα
„ φρονήματος παντὸς γεώδους ἦν γενομένη, καὶ ὑψηλοτέρα σαρκὸς καὶ
αἵματος. Κύουσα δὲ πάλιν, καὶ περὶ μῆνα πέμπτον τῆς κυοφορίας,
ἐξαμβλῶσαι τὸ κύημα κινδυνεύουσα, μετάπεμπτον τὸν Ἐλισσαῖον αὐτῆς
Αὐτ. „ ποιησαμένη, ὡς οὐκ ἐβούλετο παίδων γενέσθαι μήτηρ ἀνεμίμνησκε, καὶ
„ τὰς αὐτοῦ ὑποσχέσεις εἰς μέσον παρῆγε. Τοῦ δὲ θαῤῥεῖν κελεύον-
τος, μηδὲ γὰρ ἂν ἀφαιρήσεσθαι τὸ δῶρον τὸν δεδωκότα, εἰ μηδ' αὐ-
τὴ τὰς γενομένας παραβαίη συνθήκας, αἷς ἀντιδώσειν ὑπέστη τὸ δοθη-
σόμενον, καὶ εἰς τὴν θείαν αὐτὸ θεραπείαν καθοσιώσειν, οὕτως (ἔφη)
Αὐτ. „ καὶ ἐγὼ τεκεῖν βούλομαί τε καὶ εὔχομαι· τῆς γὰρ ἀλλοίας τοῦ παιδὸς τρο-
„ φῆς αἱρετώτερον ἡγοῦμαι τὸν ἀτέλεστον τόκον.

Ἐξ ὧν μὲν οὖν ἡ βλάστη αὕτη ῥιζῶν ἀνέφυ τοιαίδε· παρὰ
μὲν τοιαύτας ὑδάτων διεξόδους πεφυτευμέναι, τοιοῦτον δὲ καὶ τὸν καρπὸν
αὐτῶν ἐν καιρῷ αὐτῶν δώσειν ἐπαγγελλόμεναι· καὶ μὲν δὴ καὶ δοῦσαι,
Ἔτ. 386. μᾶλλον δὲ ἀποδοῦσαι τῷ τῆς φύσεως φυτουργῷ, ὑφ' οὗ ἐκομίσαντο. Τε-
χθεὶς γὰρ αὐτοῖς οὕτως ἐξ ἐπαγγελίας ὁ παῖς, κατὰ τὴν εὐχὴν αὐτίκα τῷ
Θεῷ ἀνετίθετο. Καὶ φερωνύμως τοῦτο ἦν αὐτὸς Θεοδώρητος· Τὸ μέν,
ὡς θεόθεν τοῖς γονεῦσι δωρηθείς, τὸ δέ, καὶ ὡς ὑπὸ τῶν οὕτως εἰληφό-
των τῷ δωρησαμένῳ προσενεχθεὶς δῶρον τίμιον. Τοιγαροῦν καὶ ὁ τοιοῦ-
τος τοῖς δι' ἀρετῆς Θεῷ καθοσιωμένοις Ἀνδράσι, καὶ γνησίοις ἐκείνου θε-
ραπευταῖς ὑπὸ τῆς μητρὸς προσήγετο, τοῖςτε ἄλλοις, οἳ συχνοὶ τὸ τη-
νικαῦτα περὶ τὴν Ἀντιόχειαν τὸν Ἀγγελικὸν ἐτύγχανον ἁμιλλώμενοι βίον,
κἀκείνοις πρὸ τῶν ἄλλων, δι' ὧν θεαίτητος ἐγεγόνει ὁ Θεοδώριτος.
Προσήγετο δέ, ἅμα μὲν ὡς ἐκ σπαργάνων καθιερούμενος, ἅμα δὲ καὶ ἁ-
γιασμοῦ, καὶ εὐλογίας, δι' εὐχῆς τῆς ἐκείνων μεθέξων. Μειράκιον δὲ ἤδη ὢν
(ὡς

(ὡς αὐτὸς περὶ ἑαυτοῦ διέξεισι,) καὶ τῆς πρὸς Ἀφραάτην τὸν ἰσάγγελον, ὃς ἦν πρὸ τοῦ Ἄστεος ἔχων τὸ ἀσκητήριον, ἅμα τῇ μητρὶ μετέχε πορείας. Ὁ δὲ, τὴν μὲν κατὰ τὸ εἰωθὸς ὑπανοίξας τοῦ καταγωγίου τὴν
,, θύραν, διαλέξεσθαι τε καὶ εὐλογίας ἠξίωσεν· Ἐμὲ δὲ (φησὶν) εἰσδεξάμε- Φιλοθ. Ἱστορ.
,, νος ἔνδον, τοῦ τῆς προσευχῆς πλούτου μετέδωκε. Συχνὰ δὲ μετὰ τῆς Κεφ. Η΄.
τεξαμένης καὶ πρὸς Πέτρον τὸν μέγαν ἐπορεύετο, οὗ μνείαν ἀνόπιν πεποιήμεθα.
,, Ὁ δὲ, πολλάκις με (φησὶ) τοῖς γόνασιν ἐπικαθίσας, στα- Φιλοθ. Ἱστορ.
,, φυλῇ με καὶ ἄρτῳ διέθρεψε. Πεῖραν γὰρ αὐτοῦ τῆς πνευματικῆς χά- Κεφ. Θ΄.
,, ριτος ἡ μήτηρ δεξαμένη, ἅπαξ με τῆς ἑβδομάδος ἑκάστης, τρυγᾷν
,, ἐκείνην τὴν εὐλογίαν ἐκέλευε. Καίποτε δὲ, καὶ τὴν οἰκείαν ζώνην ὁ
,, ὅσιος ἐκεῖνος διχῇ τεμὼν, (πλατεῖα γὰρ ἦν καὶ μακρὰ ἀπὸ λίνου πα-
,, χέος πεπλεγμένη) τῷ μὲν ἡμίσει ταύτης τὴν οἰκείαν ὀσφῦν, τῷ ἑτέρῳ
,, δὲ, διέζωσε (φησὶ) τὴν ἐμήν. Ταύτην πολλάκις μὲν ἐμοὶ νοσοῦντι ἐπι-
,, θεῖσα ἡ μήτηρ, πολλάκις δὲ τῷ Πατρὶ, τὴν νόσον ἀπήλασε. Καὶ
,, αὐτὴ δὲ τοῦτο τὸ φάρμακον πρὸς ὑγείαν ἐχρήσατο. Οὐδὲν δὲ ἧττον
καὶ πρὸς Μακεδόνιον ἐτύγχανε θαμὰ προσφοιτῶν, καὶ τῆς αὐτοῦ εὐλογίας τε καὶ διδασκαλίας ἐπαπολαύων, ὃς καὶ παραινῶν μοι πολλάκις ἔλεγε
,, (φησὶ) μετὰ πολλῶν, ὦ παιδίον, γεγέννησαι πόνων· Πολλὰς διετέλε- Φιλοθ. Ἱστ. Κεφ.
,, σα νύκτας τοῦτο μόνον τὸν Θεὸν ἱκετεύων, ὥστε σου τοὺς γονέας τοῦτο γε- ΙΓ΄.
,, νέσθαι, ὃ μετὰ τὴν γέννησιν ὠνομάσθησαν. Ἀξίως τοίνυν πολιτεύου τῶν
,, πόνων. Πρὸ ὠδίνων ἀνετέθης ταῖς ὑποσχέσεσι. Τὰ δὲ τοῦ Θεοῦ ἀνα-
,, θέματα σεβάσμια πᾶσιν ἐστὶ, καὶ ἄψαυστα τοῖς πολλοῖς. Προσήκει
,, τοίνυν καὶ σὲ τὰ μὲν φαῦλα τῆς ψυχῆς κινήματα μὴ προσδέχεσθαι,
,, ἐκεῖνα δὲ μόνα καὶ δρᾷν, καὶ λέγειν, καὶ ἐνθυμεῖσθαι, ἃ τὸν τῆς ἀρετῆς
,, νομοθέτην θεραπεύει Θεόν. Τοιαῦτα μοι (φησὶ) παραινῶν ἀεὶ διετέ-
,, λεσεν ὁ τοῦ Θεοῦ ἄνθρωπος· ἐγὼ δὲ καὶ τῶν λόγων μέμνημαι, καὶ
,, τὴν θείαν δεδίδαγμαι δωρεάν, ἔργοις δὲ μὴ δεικνὺς τὴν παραίνεσιν ἱκε-

„ τεύω τῆς θείας ῥοπῆς διὰ τῆς ἐκείνου τυχεῖν προσευχῆς, καὶ τὸ λει-
„ πόμενον τῆς ζωῆς, κατὰ τὰς ὑποθήκας τὰς ἐκείνου ἐπιβιῶναι.

Ἀλλ' οὕτω μὲν τὸ θεοδώρητον βλάστημα, ἁπαλὸν ἔτι, καὶ μόλις προκύψαν, ταῖς ὑπὸ τῶν Ἁγίων Ἀνδρῶν ἐκείνων ἐπιῤῥοαῖς ἠρδεύετο πιαινόμενον, ὡς αὐτίκα καὶ φυτόντι τοῦτο φαίνεσθαι ἐπιδήλως, οἷον δὴ μέλλειν ποτὲ καὶ κάρπιμον ἔσεσθαι. Τότε δὲ τὸν μείρακα ἀρτίως ἀμείβοντα εἰς τὴν Εὐπρεπίου καλουμένην Μονὴν (ἦν δὲ κατὰ τὴν Ἀντιόχειαν ἡ Μονὴ αὕτη πρακτικοῦτε ἅμα καὶ θεωρητικοῦ βίου περιφανὲς φροντιστήριον) φέροντες εἰσήνεγκαν οἱ γεννήσαντες, ἅματε τὴν εὐχὴν ἐξοσιούμενοι τὴν ἑαυτῶν, καὶ τῆς μοναστικῆς ἀγωγῆς τὰς γραμμὰς τὰς πρώτας ἐξ ἔτι νέου μορφωθῆναι αὐτὸν σπουδάζοντες, διὰ πράξεως ἀχθέντα καὶ θεωρίας, ἐξ ὧν ὁ τέλειος ἀπαρτίζεται ἄνθρωπος. Καὶ τοῦ μὲν πρακτικοῦ βίου πλεῖστοι αὐτῷ οἱ καθηγεμόνες ὑπῆρξαν. Οἵτε γὰρ ἐν τῇ μονῇ τὸν μιγάδα τρόπον πολιτευόμενοι, καὶ οὓς ἡ γείτων ἔρημος εἶχε, τὸν μονήρη βίον καὶ μονότροπον ἐπανῃρημένους, ἀσκητικῆς Ἰδέας καὶ χάριτος οἱ πάντες Ἀρχέτυπα. Σὺν οἷς καὶ ἡ γειναμένη, ἕως ἐν τοῖς ζῶσιν ἠρίθμητο, ὑπομνήσεσίτε μητρῴαις, καὶ τῷ καθ' ἑαυτὴν ὑποδείγματι, (οὐδὲ γὰρ οὐδ' αὐτὴ ὡς εἴρηται τῆς ἀγωγῆς ἀλλοτρίως εἶχεν) οἷα τις θηγάνη τοῦτον διέθηγε παρατρίβουσα, καὶ πρὸς τὸν τῆς ἀρετῆς παρορμᾷν οὐ διέλιπε δρόμον, παιδαγωγοῦσα· οὕτω τρέχειν ὥστε καταλαβεῖν Ἀποστολικῶς μυωπίζουσα· οἱ δὲ τῶν κατὰ θεωρίαν αὐτῷ καθηγησάμενοι παιδευμάτων δύο φέρονται γεγονέναι, οἱ πάντων ἐν τοῖς τότε ἐπὶ σοφίᾳ καὶ μαθήσει τὰ πρῶτα φέροντες. Θεόδωρος μὲν γὰρ ὁ Μοψουεστίας ἐκεῖνος, ὃν καὶ μυρίων οὐκ ἐλάσσονας βίβλους λόγος ἔχει συγγεγραφέναι, τῆς ἐν ἱεραῖς Γραφαῖς αὐτὸν θεοσοφίας τὰ βάθη, ἐδίδασκεν ἐπιστημόνως ἀναδιφᾷν. Ἰωάννης δὲ ὁ μέγας, ὁ τὴν γλῶτταν χρυσοῦς, τὰς τῆς εὐγλωττίας αὐτῷ ἀνεστόμου πηγάς, ἐξ ὧν μετ' οὐ πολὺ τοῖς τῷ δίψει τοῦ λόγου συνεχομένοις, ῥέ-

ειν ἔμελλεν ἀφθόνως τὰ τῆς διδασκαλίας σωτήρια νάματα. Ὁ δὲ ἐντεῦθεν, καὶ ἐπόθεν αὐτῷ καὶ ἄλλοθεν ἐνῆν, τοῦ τῆς σοφίας κρατῆρος ἐς κόρον σπάσας, εὐκληρίας τε φύσεως τυχὼν, καὶ τάχει δὲ νοῦ, καὶ ὀξύτητι διαφέρων, μελέτῃ δὲ συντόνῳ, καὶ φερεπονίᾳ ἀτρύτῳ χρησάμενος, ἐν νεαζούσῃ ἔτι τῇ ἡλικίᾳ ἐπὶ τὸν κολοφῶνα τῆς κατὰ ψυχὴν ἀνέτρεχε τελειότητος, καὶ τοσούτῳ προῆγε ταῖς ἐπιδόσεσιν, ὥστε πάντας τοὺς ἐν τῇ Εὐπρεπίου τότε καθ᾽ ἑκατέραν τὴν ἰδέαν τῆς ἀρετῆς παιδοτριβουμένους, πολλῷ τῷ μέσῳ κατόπιν ἀπολιπεῖν· ὧν ἐν τοῖς ἄλλοις καὶ Νεστόριος καὶ Ἰωάννης ἤστην, ἄμφω Ἀντιοχέε, συσπουδαστάτε τούτῳ γεγονότε καὶ συνομιλητὰ, καὶ γνωρίμω· ὧν ὁ μὲν τῆς Ἀντιοχέων Ἐκκλησίας ὕστερον ἔλαχεν ἰθύνειν τὸ σκάφος, ὁ δὲ ἐπὶ τῶν οἰάκων τῆς ἐν τῇ βασιλίδι καθῆστο ἐπ᾽ οὐκ αἰσίῳ τῷ δαίμονι. Καὶ τοσοῦτον τοίνυν τῆς ἀρετῆς τὸν πλοῦτον ἐν βραχεῖ ἑαυτῷ συλλέξας, ὡς καὶ ἄλλους λοιπὸν ἐξ αὐτοῦ πλουτίζειν οἷόςτε καὶ δοκεῖν καὶ εἶναι, ἰδιοπραγεῖν περαιτέρω οὐκ ἐπιτρέπεται, ἀλλὰ τῷ κλήρῳ ἐγκαταλέγεται, ἔτι μάλα ἑκών· εἴχετο γὰρ ἀπρὶξ τῆς ἐν τῷ Μοναστηρίῳ διαγωγῆς· καὶ οὐδ᾽ ἂν ἐπείσθη τάχα, οὐδ᾽ ἔτι καὶ γένοιτο, ἀθετῆσαι τὴν πρόθεσιν, εἰ μὴ καὶ οὕτως ἐξεῖναι οἱ ἀνεπείσθη ἐν ἤθεσι μένειν τοῖς αὐτοῦ, καὶ ἐπὶ τῆς προαιρέσεως βιοῦν, ἧς ἐκθύμως διὰ βίου παντὸς ἠρετίσατο. Ταύτῃ τοι καὶ εἰκοσόν που ἄγων τῆς ἡλικίας, ὑπὸ Πορφυρίου τοῦ μετὰ Φλαβιανὸν Ἀντιοχέων ἐπισκοπήσαντος, εἰς Ἀναγνώστου τάξιν εἰσάγεται. Μετ᾽ οὐ πολὺ δὲ, ὑπὸ Ἀλεξάνδρου τοῦ μετὰ Πορφύριον Ἀρχιερατεύσαντος, καὶ τὸν βαθμὸν κληροῦται τῆς Διακονίας, καὶ τὴν διανομὴν τοῦ λόγου πιστεύεται, καὶ ἐν καθέδρᾳ καθέζεται Πρεσβυτέρων, καὶ ἐν Συλλόγοις ἐξετάζεται Διδασκάλων, καὶ ἐν μέσῳ λαοῦ πολλοῦ, ψαλμικῶς εἰπεῖν, καὶ βαρέως τῇ μὲν ἁγνῶς Θεὸν αἰνεῖ καὶ γεραίρει, τῇ δὲ γνησίωστε καὶ ἀκιβδήλως τῆς ἀληθείας κηρύττει καὶ διαλευκαίνει τὸ μάθημα. Ἐξ ὅτου δὴ καὶ θαυμαστὸς μὲν εἶναι ἤρξατο



Franckesche Stiftungen zu Halle

τοῖς εὐσεβείας τροφίμοις, φοβερὸς δὲ πᾶσιν, ὅσοι πνεύματι ψευδοδο-
ξίας καὶ πλάνης τοῦ ὀρθοῦ φρονήματος παρατραπέντες, τῆς τῶν εὐσε-
βέντων φάλαγγος ἐξεκύμηναν. φωστὴρ γὰρ οἷος ἐκείνοις τὰς τοῦ λόγου
φρυκτωρίας διαπυρσεύων καὶ δαδουχῶν, πυρὸς δίκην ἐπὶ τούτους ἐκαίετο,
τὰς ἀχυρώδεις σφῶν διδασκαλίας παραναλίσκων καὶ διαπυρπολῶν. Οὐ
πολὺ τὸ ἐν μέσῳ καὶ Ἰσίδωρος ὁ τῆς Κυρεστῶν Ἐκκλησίας ἐπιμελεῖσθαι
λαχὼν, τοῦ ζῆν μεθίσταται. Θεόδοτος δὲ ὁ τῶν ἑῴων Ἐκκλησιῶν
τὴν προεδρίαν μετ' Ἀλέξανδρον ἐγκεχειρισμένος, εἰς Θεοδώριτον
423. Βαρ. αὐτίκα βλέπει, καὶ τῆς χηρευούσης ποίμνης προστάτην ἑκόντα ἄκοντα
420. Γαρ. προχειρίζεται, ἐπὶ τὴν λυχνίαν ἐξαίρων, τὸν οὐδ' ὑπὸ τὸν μόδιον τέως
λανθάνοντα, ἵν' ἐκεῖθεν ὡς ἀφ' ὕψους τοῦ θρόνου μᾶλλον διαλάμψειε τοῖς
ἐν τῇ οἰκίᾳ, δαψιλέστερον προχέων τὰ τοῦ πνεύματος σελαγίσματα.

Ἦν μὲν οὖν ἡ Κύρος πόλις, τῆς ἐν τῇ Κομμαγηνῇ μὲν Συ-
ρίᾳ τὸ πρὶν, Εὐφρατησίᾳ δ' ὕστερον κληθείσῃ μοίρας, τῆς πρὸς ἥλιον
τετραμμένης δυόμενον. Ταύτην οἱ μὲν Κῦρον ἱστοροῦσι τὸν πρῶτον ἐν
ὁρίοις δείμασθαι τῆς Συριάδος, οἱ δὲ Κύρῳ αὐτῷ τοὺς Ἑβραίους, τὴν
ἐλευθερίαν ἀπολαβόντας, ἀντὶ λύτρων ὁμολογίας τὸ Ἄστυ ἀναθεμένους
ἐπώνυμον. Ἐκ ταύτης οὖν καὶ Κυρεστῶν, ἡ Κυρεστηνῶν ὠνόμασται ἡ χώ-
ρα, μεγέθει μὲν ἐλαττουμένη, καὶ οὐδὲ πάνυ εὔγειος οὖσα (ἀπὸ γὰρ
σημείων τεσσαράκοντα, μῆκος τε καὶ εὖρος περιγραφομένη, ὄρεσι τὸ πλεῖ-
στον πολλοῖς καὶ μεγάλοις, τοῖς μὲν ψιλοῖς παντελῶς, τοῖς δὲ καὶ ἐκ
φυτῶν ἀγρίων καὶ ἀκάρπων ὑλομανοῦσι διείληπτο.) Πλήθει δὲ ὅμως
οἰκητόρων καταπυκνουμένη, καὶ οὐδὲν μεῖους ὀκτακοσίων παροικιῶν περιέχου-
σα. οἱ δὲ οἰκοῦντες οὐχὶ πάντες τῆς ὑγιαινούσης μερίδος ὑπῆρχον τῆς
πίστεως· πολλοὶ δὲ ἐν αὐτοῖς οἱ τὰ Ἀρείου νοσοῦντες, πολλοὶ δὲ οἱ τὰ Εὐ-
νομίου, πολὺς δὲ ἀριθμὸς πρὸ τῶν ἄλλων, καὶ τῶν δυσσεβῶς πρεσβευόν-
των τὰ τοῦ Μαρκίωνος. οἷς καὶ τῆς ὀρεινῆς τὰ δύσβατα ἔχουσι καὶ τραχέα,
δρυ-

Franckesche Stiftungen zu Halle

δρυμόσιτε καὶ ὕλαις ἐνδιαιτωμένοις ἀδιεξόδοις, παρὰ τὸ ἀπρόσμικτον καὶ ἀσυνάλλακτον, τοῦ ἐξ ἀγροικίαστε καὶ θηριωδίας κτηνώδους θράσους μᾶλλον μετῆν, ἢ τῆς κατὰ ἄνθρωπον ἡμερότητος· Χριστιανοῖς μὲν ἀκούουσι τῇ κλήσει, ἐθνικαῖς δὲ ἀπάταις καὶ γοητείαις, καὶ ἰουδαϊκαῖς προλήψεσι καὶ δεισιδαιμονίαις τὸ πλέον προσέχουσιν· Ἀλλ᾽ ἡ μὲν αὐτόσε Ἐκκλησία τοιάδέτις καὶ οὕτως ἦν ἔχουσα. Ταύτης δὲ ἤδη τὴν προστασίαν ἄκωντε καὶ μόλις ὁ Θεοδώριτος ἀναδεδεγμένος, ἐκεῖνο πρῶτον ἑαυτοῦ παρεῖχεν ἰδεῖν ἀξιάγαστον, τὸ μηδὲ βραχύ τι ὅσον ἀνασχέσθαι ὑφεῖναι, μηδ᾽ ἐπὶ τοῦ θρόνου ἀρθεὶς, τῆς συνήθους τοῦ βίου λιτότητος, ἀλλὰ καὶ τὴν πολιτείαν (ὃ διέξεισιν αὐτὸς περὶ Ἀβραάμου τοῦ Καρῶν) βιασθεὶς ἐναλ-
„ λάξαι, τὸν βίον οὐκ ἤμειψε· μετέβη δὲ μετὰ τῆς ἀσκητικῆς κακοπα- Φιλοθ.
„ θείας, μοναχικοῖστε πόνοις, καὶ Ἀρχιερατικαῖς φροντίσι κατὰ ταὐτὸ Ἱσ. Κεφ. ΙΖ.
„ περιστοιχιζόμενος. Μένων γὰρ ἀκλινὴς εἰς τέλος ἐπὶ τῆς τάξεως, τὸν μὲν τῆς ἀκτησίας θησαυρόν, ὃν τῇ πρὸς τοὺς δεομένους τοῦ πατρῴου κλήρου διανομῇ φθάσας συναγηόχει, ἄσυλον ἑαυτῷ ἐσπούδαζε διατηρεῖν. Περιβολὴν δὲ ἠσπάζετο τὴν εὐτελῆ τε καὶ πενιχρὰν καὶ ἀπέριττον. Νηστείᾳ δὲ διηνεκῶς ἐφιλονείκει τὸ σαρκίον ἐκτήκειν, καὶ καταστέλλειν τὰ ἐκείνου σκιρτήματα. Προσευχῇ δὲ, καὶ τῇ τῶν θείων μελέτῃ καὶ θεωρίᾳ ἐπιμόνως ἔχαιρεν ἐγκαρτερεῖν. Καὶ τῇ ἄλλῃ, συνελόντι, διῆγε χρώμενος διαίτῃ, ἣν ἐξ ἀρχῆς ἑαυτῷ προεστήσατο. Εἶναι γὰρ διενοεῖτο τὴν ἐπὶ τῆς Ἀρχιερατείας ἀνάβασιν, οὐχὶ καταβάσεως πρόφασιν, ἀλλ᾽ ἐπὶ τὰ ὑψηλότερα τῆς ἀρετῆς πρόοδον καὶ ἐπίβασιν. Καὶ δεῖν ἄρα τὸν, κατὰ Μωσέα, εἰς Θεὸν τῷ λαῷ χρηματίσοντα, ἐπὶ τὴν ἀκρώρειαν αὐτὸν ἀναδραμεῖν, τῶν λοιπῶν μενόντων ἐπὶ τὰ κράσπεδα, καὶ θεοῦσθαι πρῶτον τῇ πρὸς τὸ θεῖον ἐγγύτητι, τὸν ὑπὲρ τῶν ἄλλων μεσιτεύειν ταχθέντα, καὶ τούτοις μεταδώσοντα τῆς θεώσεως. Ταύτῃ γοῦν τὰ καθ᾽ ἑαυτὸν ὁροθετήσας καὶ ἐπὶ τοιούτοις θεμελίοις τὸν θρόνον ἑαυτῷ πήξαστε καὶ στηρίξας,



Franckesche Stiftungen zu Halle

τοῦ λοιποῦ μίαν ταύτην ἐποιεῖτο σπουδὴν, ὅπως τὴν ἀφορισθεῖσαν οἱ θεόθεν Ἐκκλησίαν, ὡς οἷόντε ἐπιμελέστατα καλλιεργήσας, καὶ παντοίας ἀποσμήξας λύμης τε καὶ ῥυπαρίας, ἄμωμον οὕτω καὶ ἄσπιλον τῷ νυμφίῳ παραστήσειε τὴν νύμφην, ἧς νυμφαγωγὸς ὑπὸ τοῦ πνεύματος ἀνεδέδεικτο, καὶ προσάξειε τῷ Κυρίῳ λαὸν περιούσιον, θρησκευτὴν εὐσεβείας, ζηλωτὴν καλῶν ἔργων, οὗ τὴν ὁδηγίαν πεπίστευτο. Εἰς τοῦτο δὲ οὐ μικρᾶς τῆς ἄνωθεν ᾔδει ῥοπῆς καὶ ἐπικουρίας δεόμενος, πυκνῆς τινὸς τῆς σκοτομήνης κατὰ παντὸς διακεχυμένης αὐτῷ τοῦ ποιμνίου, καὶ μηκέτι καθ' ἕνα, ἢ τὸ πλέον κατ' οἴκους, κατὰ δήμους δὲ καὶ φυλὰς τοῦ κακοῦ εἰσκωμάσαντος, καὶ κώμας ὅλας, καὶ ταύτας πολυανθρώπους ἐπινεμηθείσης τῆς πλάνης, καὶ τῷ χρόνῳ ῥιζωθείσης καὶ κρατυνθείσης, ὥστε πᾶσαν ἀνθρωπείαν ὑπερβάλλειν σπουδήν τε καὶ δύναμιν τὴν ἐκείνης καθαίρεσιν. Ἔνθεν τοι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, Θεὸν οὐ διέλιπε βοηθὸν οἱ τῆς ἐργασίας παρεῖναι, αὐτός τε ἐπικαλούμενος, καὶ πολλοὺς δὲ καὶ ἐκ τῶν ἁγίων προβαλλόμενος πρέσβεις, ἐφ' ᾧ τῆς ἐκείνου τυχεῖν ἀρωγῆς, καὶ εἰς τέλος ἐλθεῖν τοῦ σπουδάσματος. Καὶ μὲν δὴ καὶ τὸ παρ' ἑαυτοῦ συνεισφέρων, καὶ σὺν Ἀθηνᾷ, τὸ τοῦ λόγου, καὶ τὴν χεῖρα κινῶν, μυρίους μὲν κατέβαλε πόνους, μυρίους δ' ὑπῆλθε κινδύνους, ὁρατοῖς τε ἅμα καὶ ἀοράτοις ἐχθροῖς συμπλεκόμενος. Ἀλλ' ἐμοὶ γὰρ ἄμεινον ὁ λόγος ἕξει, ἐκ
„ τῶν αὐτῷ ἐκείνῳ εἰρημένων κερδάνας τὸ ἀξιόπιστον. Μαρκίων (φη-
„ σὶν) ὁ βδελυρὸς πολλὰς ἀσεβείας ἀκάνθας εἰς τὴν χώραν τῆς Κύρου
„ κατέσπειρε πόλεως. Ταύτας ἀνασπᾶν προῤῥίζους πειρώμενος, πάντα
„ κάλων τὸ λεγόμενον ἐκίνει, καὶ πάσῃ μηχανῇ χρώμενος διετέλει.
„ οἱ δὲ τῆς δι' ἐμοῦ θεραπείας ἀπολαύοντες, ἀντὶ τοῦ ἀγαπᾶν με, προ-
„ φητικῶς εἰπεῖν, ἐνδιέβαλλόν με, καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν,
„ καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Καὶ γοητικαῖς χρώμενοι μαγγανείαις,
„ καὶ δαίμοσι πονηροῖς συνεργοῖς κεχρημένοι, ἀοράτως πολεμεῖν ἐπειρῶντο.

Φιλοθ. Ἱστορ. Κεφ. ΚΑ'.

Καίπο-

„ Καίποτε νύκτωρ ἧκε τις βοῶν ἀλιτήριος δαίμων, ϗ τῇ Σύρᾳ κεχρημέ-
„ νος φωνῇ, τί πολεμεῖς (ὁ δεῖνα) Μαρκίωνι; τί δήποτε δὲ τὴν πρὸς
„ τοῦτον ἀναδέδεξαι μάχην; τί σοι εἰργάσατο πώποτε; λῦσον τὸν πόλε-
„ μον, κατάπαυσον τὴν δυσμένειαν· ἢ τῇ πείρᾳ μαθήσῃ, ὅσον καλὸν
„ ἡσυχία. εὖ ἴσθι γάρ, ὡς πάλαι ἄν σε κατηκόντισα, εἰ μὴ τὸν τῶν
„ μαρτύρων χορὸν, σὺν Ἰακώβῳ, φρουροῦντα σε ἑώρων. ἤκουσα τούτων ἐγὼ,
„ καί τινι τῶν γνωρίμων πλησίον καθεύδοντι, ἀκούεις, ἔφην, ὁ δεῖνα τῶν λε-
„ γομένων; ὁ δὲ πάντων, εἶπεν, ἐπήκουσα, καὶ διαναστῆναι βουλόμενος,
„ ϗ διακύψαι, ϗ γνῶναι τίς ὁ φθεγγόμενος, σοῦ χάριν ἡσυχίαν ἦγον,
„ καθεύδειν σε τοπάσας. Ἀναστάντες τοίνυν ἄμφω τε διεκύπτομεν, ϗ
„ οὐδένα οὔτε κινούμενον, οὔτε φθεγγόμενον ἠκούομεν. Τῶν δὲ ῥημάτων
„ ἐκείνων ϗ οἱ ἄλλοι ἡμῶν ἐπήκουσαν σύνοικοι. Συνῆκα τοίνυν ὡς χο-
„ ρὸν μὲν μαρτύρων ἔλεγε τὸ τοῦ ἐλαίου τῶν μαρτύρων ληκύθιον, ὃ
„ παρὰ πολλῶν μαρτύρων συνειλεγμένην ἔχον τὴν εὐλογίαν, παρὰ τὴν
„ ἐμὴν ἐξήρτητο κλίνην. Καὶ τῇ κεφαλῇ δέ μου ὑπέκειτο τοῦ μεγά-
„ λου Ἰακώβου τὸ παλαιὸν περιβόλαιον, παντὸς ἔρκους ἀδαμαντίνου ἰσχυ-
„ ρότερον γεγενημένον. Ἦν δὲ ὁ Ἰάκωβος οὗτος, οὗ περιόντος ἔτι τῷ
βίῳ τὴν θαυμασίαν ϗ ὑπὲρ ἄνθρωπον ἄσκησιν τῇ ἱστορίᾳ ὁ Θεοδώριτος
παραδιδοὺς, ϗ ταῦτα πρὸς τοῖς ἄλλοις διέξεισι. Πρὸς γὰρ δὴ τοῦτον συχνά-
κις ἦν εἰωθὼς παραγίνεσθαι τῆστε ἀρετῆς ὀνούμενος τῆς ἐκείνου, ϗ πρὸς τοὺς
ἀγῶνας ὑπαλειφόμενος, ϗ τῇ εὐχῇ δὲ τοῦ Ἀνδρὸς ϗ εὐλογίᾳ θωρακιζό-
μενος, ὁσάκις ἂν κατιέναι μέλλοι εἰς τὰ κατὰ τῶν Αἱρετιωτῶν σκάμματα.

„ Ἡνίκα γοῦν τῇ μεγίστῃ τούτων Κώμῃ προσβάλλειν ἔμελλον, Αὐτ.
„ φησὶν, εἶτα πολλά τινα ἐν μέσῳ γινόμενα τὴν ἔξοδον διεκώλυεν, ἔπεμ-
ψα παρὰ τὸν ἐμὸν Ἡσαΐαν (τοιοῦτος ἦν αὐτῷ ὁ μέγας Ἰάκωβος)
„ τῆς θείας συμμαχίας ἀντιβολῶν ἀπολαῦσαι. Ὁ δὲ θαῤῥεῖ ἔλεγε.
„ Πάντα γὰρ ἐκεῖνα διαλέλυται τὰ κωλύματα. Καὶ τοῦτο με νύκτωρ

ἐδί-

ἐδίδαξεν ὁ Θεὸς, οὐκ ὄναρ σκιαγραφήσας, ἀλλ' ὕπαρ ἐπιδείξας. Καὶ
τὴν ὀπτασίαν διεξήει, ἄρτι τῆς ὑμνῳδίας αὐτῷ ἀρξαμένῳ ὄφιν τινὰ
πυροειδῆ παριστῶσαν ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω ἑρπύζοντα, καὶ διὰ
μέσου τοῦ ἀέρος φερόμενον· Εἶτα, τρεῖς αὐτοῦ εὐχὰς ἐξανύσαντος,
ἐπικαμφθέντα, καὶ κυκλοτερῶς τῇ κεφαλῇ τὴν κέρκον συνάψαντα. Τέως
δὲ, καὶ ὀκτὼ πάλιν εὐχὰς συμπεράναντος, διχῇ τμηθέντα, καὶ εἰς
καπνὸν διαλυθέντα. Καὶ ὁ μὲν ἀλείπτης ταῦτα προεῖδε, καὶ προαπήγγει-
λεν. ὁ δὲ ἀγωνιστὴς, ἐθεασάμεθα, φησὶ, συνομολογοῦσαν τῇ προῤῥήσει τὴν
Αὐτ. „ ἔκβασιν. Ἕωθεν μὲν γὰρ ὑπὸ τοῦ ἀρχεκάκου ὄφεως στρατηγούμενοι, οἱ
„ πάλαι μὲν τῆς Μαρκίωνος συμμορίας, νῦν δὲ τῆς Ἀποστολικῆς γενό-
„ μενοι φάλαγγος, γυμνὰ ἡμῖν ἀπὸ τῆς ἑσπέρας ὁρμῶντες τὰ ξίφη
„ ἐδείκνυον. Περὶ δὲ τρίτην ὥραν τῆς ἡμέρας συσπειραθέντες τῆς οἰκείας
„ ἐφρόντιζον φυλακῆς, καθάπερ ὁ ὄφις τῇ κέρκῳ τὴν κεφαλὴν συνεκά-
„ λυπτεν. Ὀγδόῃ δὲ ὥρᾳ σκεδασθέντες, χώραν ἡμῖν ἔδωκαν τῆς εἰς
„ τὴν Κώμην εἰσόδου. Καὶ παραυτίκα εὕρομεν ὄφιν ἐξ ὕλης χαλκοῦ
„ πεποιημένον, καὶ ὑπ' ἐκείνων προσκυνούμενον. Τὸν γὰρ κατὰ τοῦ
„ δημιουργοῦ καὶ ποιητοῦ τῶν ὅλων προφανῶς ἀναδεξάμενοι πόλεμον, τὸν
„ ἐπάρατον ὄφιν, ὡς ἐκείνου πολέμιον, θεραπεύειν ἐσπούδαζον. Ἄλλοτε δὲ
„ πάλιν τὸν ἑαυτοῦ Ἡσαΐαν (ὡς ἐφίλει καλεῖν) ἱκετεύων ἀντιβολῆσαι
τὸν τῶν ὅλων Θεὸν, καθαρὸν αὐτῷ ζιζανίων ἀποφῆναι τὸ λήϊον, καὶ τῶν
αἱρετικῶν σπερμάτων πάμπαν ἐλευθερῶσαι (ἡνίκα γὰρ αὐτὸν κομιδῇ ἡ
τοῦ βδελυροῦ Μαρκίωνος διακρατήσασα πλάνη.) οὐδέν σοι (παρ' αὐτοῦ
Αὐτ. „ ἀκήκοεν) οὔτ' ἐμοῦ, οὔτε ἄλλου δεῖ πρὸς αὐτὸν πρεσβευτοῦ. ἔχεις γὰρ
„ Ἰωάννην τὸν πάνυ, τὴν τοῦ λόγου φωνὴν, τοῦ Δεσπότου τὸν Πρόδρομον,
„ ταύτην ὑπὲρ σοῦ τὴν ἱκετείαν διὰ παντὸς προσκομίζοντα. Τοῦ δὲ, καὶ
„ ταῖς τούτου, φήσαντος πιστεύειν προσευχαῖς, καὶ ταῖς τῶν ἄλλων ἁγί-
„ ων Ἀποστόλων καὶ Προφητῶν, ὧν ἔναγχος αὐτῷ τὰ λείψανα ἀπὸ

Φοι-

Franckesche Stiftungen zu Halle

„ Φοινίκης, καὶ Παλαιστίνης κεκόμιστο. Ὁ δὲ θάῤῥει, πάλιν ἔφη, δεύτερον ὑπολαβὼν, ὡς Ἰωάννην ἔχεις τὸν Βαπτιστήν. Καὶ διηγεῖτο αὖθις ἐπ' αὐτῷ ὄψιν ἑτέραν. Καὶ γὰρ ἄλλοτε, ἡνίκα (ἔφη) εἰς τὴν πρώτην ἀπῄεις Κώμην παιδεύσων ὡς στασιαστὰς, σπουδαιοτέραν τῷ Θεῷ προσενεγκεῖν εὐχὴν παρεγγυήσας, ἄγρυπνος διετέλεσα τὸν Δεσπότην ἀντιβολῶν. Εἶτα φωνῆς ἀκήκοα λεγούσης, μὴ δείσῃς Ἰάκωβε: ὁ γὰρ μέγας Ἰωάννης ὁ Βαπτιστὴς παννύχιον ἀντιβολεῖ τὸν τῶν ὅλων Θεόν. Πολὺς γὰρ ἂν ἐγεγόνει φόνος εἰ μὴ ταῖς ἐκείνου πρεσβείαις ἐσβέσθη τοῦ διαβόλου τὸ θράσος. Αὐτ.

Οὐδὲν οὖν θαυμαστὸν, εἰ τῆς πλάνης τέως ἴσχυσε περιγενέσθαι, καὶ τὴν Ποίμνην τέλεον τῆς ἀσεβείας ἀπαλλάξαι, ὡς μηδὲ ἴχνος γοῦν αἱρετικῆς περιλειφθῆναι ἐν αὐτῇ κακοδαιμονίας, τηλικούτοις δὴ τοῖς συνεργοῖς, καὶ συναγωνισταῖς, καὶ ἐπικούροις χρησάμενος. Διὸ καί ποτε τῶν αὐτῷ πεπραγμένων δεῆσαν ἐπιμνησθῆναι, ἀνεξέλεγκτον ἐκ τῶν πραγμάτων τὴν ὑπὲρ ἑαυτοῦ κατετίθετο μαρτυρίαν, ὡς Κώμας ὀκτὼ τῇ Μαρκίωνος αἱρέσει κρατουμένας, καὶ δὴ καὶ τὰς πέριξ κειμένας πάσας, ἀσμένας πρὸς τὴν ἀλήθειαν ποδηγήσειεν· ὡς ἄλλην Κώμην Εὐνομιανῶν πεπληρωμένην, καὶ ἄλλην Ἀρειανῶν τῷ φωτὶ τῆς θεογνωσίας προσάξειεν· ὡς πλείους ἄλλοτε ἢ μυρίους πείσας, τῇ διὰ τῶν μυστικωτέρων ὑδάτων ἀνακαινίσει υἱοὺς φωτὸς ἀναδείξειεν· ὡς τέως διὰ τὴν θείαν χάριν, οὐδὲ ἓν παρ' αὐτῷ Αἱρετικῶν ὑπολειφθείη ζιζάνιον. Ἐπισ. π'α. ξ'γ. ξ'ς. ξμε.

Ἐφ' οἷς κἀκεῖνο· ὡς οὐδὲ ἀκινδύνως ταῦτα πάντα διαπράξαιτο, ἀλλὰ τὸ αἷμα αὐτοῦ πολλάκις ἐκχύσας, πολλάκις δὲ καταλευσθεὶς ὑπ' αὐτῶν, καὶ εἰς αὐτὰς φθάσας τοῦ ᾅδου τὰς πύλας. Ἀμέλει τοι τὴν ψυχὴν οὐχ ὅπως ὑπὲρ τῶν προβάτων τιθεὶς, ἀλλ' ὑπὸ τῶν προβάτων αὐτῶν μονονουχὶ ταύτην ἀρθεὶς, καὶ ὑπὸ τῶν εἰς ζωὴν παρ' αὐτοῦ καλουμένων τε καὶ ὁδηγουμένων, εἰς θάνατον ἐπιβουλευόμενος. Οὐκ αὐτοῦ δὲ μόνα τὰ εἰρημένα τῶν Κυρεστηνῶν ἀπήλαυσεν ἡ χώρα (καί τοι ταῦτα τῶν ἀγαθῶν

ἐστὶ τὰ πρῶτα, ϗ ὧν οὐδ' ἂν εἰπεῖν τις ἔχοι ἐν τῷ βίῳ ἄλλο ἀντάξιον) τήν τε εἰς Θεὸν εὐσέβειαν φημὶ, ϗ τῆς ἐν Χριστῷ ζωῆς τὴν μακαρίαν ἐλπίδα, ϗ τὴν κατ' αὐτὴν ϗ δι' αὐτὴν προσδοκωμένην ἀντίδοσιν· πρὸς δὲ δὴ τούτοις ϗ ὅσα τῆς παρούσης ἔχεται χρείας τῆς κάτω ϗ ἐφημέρου, ϗ τούτων ἔτι ἐν ἐπιθήκης μοίρᾳ αὐτοῦ ἀπώναντο. Ὁ μὲν γὰρ Ἀπόστολος μὴ μέγα ἔλεγεν εἶναι, εἰ τὰ σαρκικὰ θερίζει ὁ σπείρειν φιλοπονῶν τὰ τοῦ πνεύματος· ὁ δὲ τοῦ πιστευθέντος αὐτῷ γεωργίου οὐκ ἀταλαιπώρως δήπου, ἀλλὰ μετὰ τοσούτων κινδύνων ϗ πόνων, τὰ πνευματικὰ φθάσας ἐκσπάσαι τῆς πονηρίας ζιζάνια, ϗ τῇ γε συντόνῳ ϗ ἐπιμελεῖ τοῦ λόγου ἀρδείᾳ πολύχουν αὐτοῖς ϗ πλούσιον τὸν ἀμητὸν τῶν πνευματικῶν ἀγαθῶν συγκομισάμενος, μηδέν τι ὅμως τὸ παράπαν τῶν σαρκικῶν ἐντεῦθεν ἑαυτῷ θερίσαι ἐσπούδασεν, ἀλλ' ἐκ περιουσίας ϗ ταῦτα κατὰ τὸ παρῆκον αὐτοῖς προσεπαρκέσαι πεφιλοτίμηται, ἑαυτοῦ μὲν ὀλιγώρως ἔχων ϗ ἀμελῶς, ἐκείνων δὲ, ϗ ἰδίᾳ ἑκάστου, ϗ κοινῇ πάντων κηδόμενος, ϗ τὰ πρὸς τὸν βίον ὅπως σφίσιν ἕξει αὐτάρκως τε ϗ καλῶς προμηθούμενος. Ἑαυτῷ γὰρ οὔτε ὀβολὸν ποτὲ, οὐχ ἱμάτιον παρ' ἑνὸς μηδενὸς ἐπορίσατο· οὐδὲ μὲν οὖν τῶν αὐτῷ συνοίκων οὐδείς, οὐδ' ἄρτον ἕνα, οὐδ' ᾠὸν εἰπεῖν, ὑπό τινος ἐδέξατο πώποτε· πλὴν δὲ τῶν ῥακίων ὧν περιβέβλητο, οὐδὲν κτήσασθαι ὅλως ἠνέχετο· ὡς ἔχειν κατὰ Παῦλον ϗ αὐτὸν „ καυχήσασθαι, ὅτι ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα· „ ἀλλὰ ταῖς χρείαις μου, ϗ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Τοῖς δὲ λοιποῖς οὓς ἄντις χρεία τύχοι πιέζουσα, πάντα ἦν αὐτὸς ϗ ὢν ϗ γινόμενος, δεομένοις μὲν ἐπαρκῶν, ἀπορουμένοις δὲ ἐπιφθάνων, πολεμουμένοις δὲ ἐπαμύνων, ἀδικουμένων δ' ὑπερμαχῶν, κακουχουμένων δὲ ἀντιλαμβανόμενος· καὶ νοσοῦντας μὲν ἐπισκεπτόμενος, τοὺς δ' ἐν ὀδύναις, ϗ θλίψεσι, ϗ ἀνάγκαις παραμυθούμενος ϗ ψυχαγωγῶν, τοὺς δ' ἐν φυγαδείαις, ϗ ἐξορίαις, ϗ πλάναις, ϗ πατρίδων ἐκπτώσει,

ϗ

καὶ οἰκείων στερήσει, πάντα τρόπον αὐτόστε περιποιούμενος, καὶ ἑτέροις
ἐπισυνιστάς. Φεύγων γὰρ τὸ ὑπὲρ ἑαυτοῦ αἰτεῖν, ὑπὲρ τῶν ἄλλων δεῖσθαι
ἦν προθυμότατος, οὐ μόνον τῶν οἰκείων, ἀλλὰ καὶ τῶν ἐξ ἀλλοδαπῆς καὶ
ξένης, παντοίαις συμφοραῖς ἐξεταζομένων· ἅπαντας γὰρ ἐκ τῶν ἐνόν-
των περιποιούμενόστε καὶ περιθάλπων, ἔπειτα καὶ τοῖς γνωρίμοις ἐπιστέλ-
λων, γράμμασιν αὐτοὺς συνεξέπεμπεν εἰλικρινὲς καὶ διάπυρον τὸ φιλοικτίρ-
μον καὶ φιλάνθρωπον πνέουσι. Δεῖγμα δὲ πρὸ τῶν ἄλλων τοῦ τρόπου λα-
βεῖν ἀποχρήσει, τὰ ὑπὲρ Κελεστιακοῦ τοῦ Καρχηδονίου, καὶ Μαρίας τῆς ἐκ
Λιβύης αἰχμαλωτίδος, πεπραγμένατε αὐτῷ καὶ γεγραμμένα· τὸν μὲν
γὰρ, ἕνα τῶν ἀπὸ τῆς ἐν Καρχηδόνι βουλῆς γενόμενον, καὶ τῆς πατρίδος
ἄρτι ὑπὸ Γησερίχου ἁλούσης ἐκπεπτωκότα, καὶ μετὰ παίδων καὶ γαμετῆς, Ἐπιϛ.
καὶ τῶν ἄλλων οἰκείων τὴν ξένην περινοστοῦντα καὶ ἀλώμενον, παρεμυθήσατότε κθ. λ.
ᾗ δυνάμεως εἶχε, καὶ τὰ ἐπισυμβάντα αὐτῷ πάθη ἐκτραγωδήσας, συ- λα. λβ. λγ. λδ.
στατικοῖς πρὸς ἅπαντας τοὺς γνωρίμους ἐπιστολίοις συνεφωδίασε· τὴν δὲ, λε. λϛ.
θυγατέρα οὖσαν Ἀνδρὸς τῶν τὰ πρῶτα ἐν τῇ πατρίδι τελούντων, φερω-
νύμως Εὐδαίμονος· ἐν δὲ τοῖς καταλαβοῦσι τότε τὴν Λιβύην κακοῖς ὑπὸ
τῆς Οὐανδαλικῆς ὠμότητος εἰς δουλείαν ἐκ τῆς προγονικῆς ἐλευθερίας
μεταπεσοῦσαν, καὶ ἐμπόροις μὲν τὸ πρῶτον, στρατιωτικοῖς δὲ ἔπειτα ἀν-
δράσι συνάμα μιᾷ τῶν ἐξ οἴκου θεραπαινίδων διαπραθεῖσαν, ἐξωνήσατό-
τε προθύμως τὰ ὑπὲρ ἀμφοῖν λύτρα καταβαλὼν, καὶ διὰ μηνῶν δέκα
διαθρέψας, ἐπειδὴ κατέμαθε τὸν πατέρα τῆς νεάνιδος περιόντα ἔτι τῷ
βίῳ, καὶ κατὰ τὴν δύσιν ἐν ἡγεμονίας ἀξιώματι διαπρέποντα, πιστοῖς
ἀνδράσι παραδοθῆναι τὴν παῖδα φροντίσας, καὶ Εὐσταθίῳ τῷ Αἰγῶν ἐπι- Ἐπιϛ. ο.
σκόπῳ διαπεμψάμενος, ἐπὶ τοὺς οἰκείους, ἀπογνόντας ἤδη τῆς θυγατρὸς
τὴν ὄψιν ἀποκατέστησε. Καὶ τοιαῦτα δὴ ἐν μέρει καὶ καθ᾽ ἕνα εὐποιῶν
διετέλει. Ἃ δὲ κοινῇτε καὶ δημοσίᾳ, καὶ πάντας, οὐδὲν ἀποδέοντα ἦν
Ἀρχικῆς μεγαλοπρεπείαστε καὶ μεγαλουργίας τὰ ὑπ᾽ αὐτοῦ κατορθούμενα. Ἐπιϛ. πκ.



Franckesche Stiftungen zu Halle

Δημοσίας τε γὰρ στοὰς ἐκ τῶν ἐκκλησιαστικῶν προσόδων ἀνέστησε, καὶ γε-
φύρας δύο μεγίστας ᾠκοδόμησε, καὶ λουτρῶν ἐπεμελήθη κοινῶν. Ἐκ δὲ
τοῦ παραῤῥέοντος ποταμοῦ τὴν πόλιν ὑδρευομένην εὑρὼν, τὸν ἀγωγὸν κα-
Ἐπιστ. ξε. τεσκεύασε, καὶ τὴν ἄνυδρον πόλιν ὑδάτων ἐπλήρωσεν. Ἀλλὰ καὶ τὰς
ἀναγκαίας ἐν αὐτῇ πάντοθεν διεπόρισε τέχνας, μετὰ τὸ εὐσεβῶς ζῆν,
οὐδὲν ἧττον καὶ τὸ ἀνθρωπίνως, τοὺς αὐτῷ πεπιστευμένους βιοτεύειν παρα-
σκευάσαι περὶ πλείστου, ᾗ δοκεῖ, τιθέμενος. Ἰατροῦ δὲ χρήζοντας συ-
νιδὼν, τοῦ μετ' ἐπιστήμης τὰς ἐνσκηπτούσας τῶν νόσων εἰδότος μεταχει-
ρίζεσθαι, οὐδὲ τοῦτον ὤκνησε μαστεῦσαι ὅστις ἐμπειρότατος, καὶ εὑρὼν
μεταπέμψασθαι, καὶ αὐτοῖς ἐπιστῆσαι, ὁ τῶν ψυχικῶν τὴν ἐπιμέλει-
αν καὶ ἴασιν ἀναδεδεγμένος, τὸν ἐπικουρήσοντα τοῖς κάμνουσι, καὶ τὰ σω-
Ἐπιστ. μβ. μγ. μδ. με. μστ. μζ. ματικὰ τῶν παθῶν ἀκεσόμενον. Εἰσπράξεις δὲ βαρυτάτας καὶ ἀφο-
ρήτους τῆς ὅλης ἀπαιτουμένης χώρας, καὶ τῶν μὲν γεωργῶν ἄλλοις τὸ
πλεῖστον γεηπονεῖν, αὐτοὺς λιμώττοντας, δεινὰ ποιουμένων, τῆς δὲ γῆς τὸ
πλέον ἐντεῦθεν ἀμελουμένης· καὶ πολλῶν μὲν ὑπὸ πενίας δραπετευόντων,
πολλῶν δὲ προσαιτεῖν ἀναγκαζομένων, πολλῶν δ' εἰς τοῦτο τέως περιστῆ-
ναι κινδυνευόντων· πάντων δὲ πάσχειν, ἢ ὅσον οὔπω πείσεσθαι τὰ σχέ-
τλια ἀπολοφυρομένων, ἑαυτοῦ καὶ τόδε ἔργον πεποίηται, στῆσαί τε τοῦ κα-
κοῦ τὴν φορὰν, καὶ τὰ τῶν παίδων δυστυχήματα, οἷα πατὴρ φιλότεκνος
ἴδια θέμενος, ἀπαγγεῖλαι μὲν βασιλεῦσιν, ἐπιστεῖλαι δὲ ἄρχουσι, καὶ
τὴν ἐπήρειαν ἐκτραγῳδῆσαι, καὶ τὸ τῆς ἀπογραφῆς βάρος γεωμετρι-
καῖς ταῖς ἀποδείξεσι ταλαντεύσας προῦπτον ἅπασι στήσασθαι, ἵνα τοῦ
δασμοῦ τὴν ὕφεσιν ἐκδυσωπήσας τοῖς κακουμένοις τὴν ἄνεσιν πρυτα-
Α'. πρὸς Τιμόθ. Κεφ. Γ. 2. 3. 4. Καὶ πρὸς νεύσειεν. Ἀλλὰ ταῦτα μὲν, καὶ ὅσα τούτοις ἐοικότα τὸν ἀληθινὸν γνωρί-
ζει ποιμένα καὶ τέλειον, οὕτως ἀνελλιπῶς ἐπὶ τοῦ Θεοδωρίτου συνδραμόντα
πάντα ὁμολογεῖται, ὡς ἐν αὐτῷ τὸν ὑπὸ τοῦ Ἀποστόλου διατυπωθέντα
τῷ λόγῳ Ἐπίσκοπον, διὰ πάσης παρεῖναι καθορᾶν τῆς ἀκριβείας

ἀπε-

ἀπεξεσμένον, καὶ ἅπασι τοῖς ἐν ἐκκλησιαστικαῖς προεδρίαις καθισαμένοις, Τίτου Κεφ.
ἐμβιόντινα οἷον κανόνα τοῦτον, καὶ ποιμαντικῆς ἀρχέτυπον Ἐπιστήμης προ- Α΄. 6. 7.
κεῖσθαι δυνάμενον. Ἐπ᾽ ἐκεῖνα δὲ ἑξῆς βαδιεῖται ὁ λόγος, ὧν κατὰ κξ.
τὴν συμβᾶσαν τότε ἐν τῇ Ἐκκλησίᾳ στάσιν, μέρος καὶ αὐτὸν γενέσθαι
συνηνέχθη οὐχὶ τὸ ἐλάχιστον. Ἐφ᾽ οἷς καὶ θαυμάσειεν ἄντις εἰκότως, τὸν
τοσοῦτονγε καὶ τηλικοῦτον, τὸν οὕτω μὲν γεννηθέντα, οὕτω δὲ ἀνατραφέντα
καὶ ἀχθέντα, οὕτω δὲ πολιτευσάμενον, τοσαῦτα δὲ καὶ ὑπὲρ τῆς τοῦ Χριστοῦ
ποίμνης ἀνατλάντα καὶ διαθλήσαντα, ἐπὶ ποσὸν ὅμως ἰδὼν ὕστερον τοῦ-
τον, συμπεριενεχθέντα μὲν τῇ πλάνῃ ὡς ἀληθείᾳ, ἀντιπεριενεχθέντα
δὲ ὡς ἄντικρυς ψευδοδοξίᾳ τῷ ἀληθινῷ καὶ γνησίῳ δόγματι. Καὶ
τοῖς μὲν τὴν πίστιν παραχαράττειν καὶ κιβδηλεύειν ἐπιχειροῦσι, συμπρα-
ξάμενόνγε, καὶ, ὡς ἦν αὐτῷ, ἐπαμύναντα, κατὰ δὲ τῶν αὐτὴν ὀχυροῦν καὶ
κρατύνειν ἀγωνιζομένων δεινὸν τὸ νεῖκος ἀράμενον· Ἤπου γὰρ δὴ καὶ τοῦ- Λουκ. Κεφ.
τον ὁ Σατανᾶς ἐξῃτήσατο τοῦ σινιάσαι κατὰ τὸν Σίμωνα· καὶ συνεχω- ΚΒ. 31.
ρήθη πρὸς βραχὺ τοῖς ζιζανίοις συναναχρωσθῆναι, εἰς ὃ θειοτέρας τινὸς 32.
αὔρας τέως ἐπιπνευσάσης, καὶ πᾶν ὅσον γηρὸν αὐτῷ προσῆν, καὶ τοῦ εἰ-
λικρινοῦς σίτου ἀλλότριον ἐξ αὐτοῦ ἀπορριπισάσης, ἄρτος καθαρὸς ἀνα-
δειχθείη, εἰς βρῶσιν Χριστοῦ ἐπιτήδειος. Ἀλλ᾽ ὅπως ταῦτα ἐγένετο ἐφε-
ξῆς ὁ λόγος δηλώσει.

Νεστόριος ὁ ἐν τῇ τοῦ Εὐπρεπίου, ὡς εἴρηται, μάνδρᾳ Ἰωάννῃ
τῷ ὕστερον Ἀντιοχείας, καὶ Θεοδωρίτῳ συμμονατὴς καὶ συσπουδαστὴς χρη-
ματίσας, τῶν βίῳτε καὶ λόγῳ διαφερόντων εἷς εἶναι δοκῶν, ἀπὸ τῆς Ἀν-
τιοχέων εἰς τὴν Κωνσταντίνου πρὸς τοῦ βασιλέως (Θεοδόσιος δὲ ἦν ὁ νεώ-
τερος) μετάπεμπτος γίνεται, καὶ, Σισινίου ἤδη πρὸς Κύριον ἐκδημήσαν-
τος, τὸν τῆς βασιλευούσης πόλεως καταπιστεύεται θρόνον. Οὗτος ὅσ- Ἔτ. 428.
περ πάλαι, ὡς ἔοικε κακοδοξίας ὤδινε γόνον, ἐπὶ τῆς Καθέδρας ἤδη
εὔκαιρον ἑαυτῷ τοπάσας ἀποτεκεῖν, πονηρῷ πνεύματι πλάνης μαιευόμε-

νόστε καὶ ἐλαυνόμενος, κατὰ Χριστοῦ τοῦ Σωτῆρος, καὶ τῆς πανάγνου αὐτοῦ Μητρὸς, βλασφήμους λέγωντε καὶ γράφων ἀφήει φωνὰς, τὸν μὲν, ἄνθρωπον ψιλὸν γενέσθαι διδάσκων, καὶ οὐ Θεὸν, τὴν δὲ, ὡς ἐκ τοῦ ἀκολούθου, Χριστοτόκον μὲν τὸ πλέον ἀποκαλεῖν ἀξιῶν, Θεοτόκον δὲ ὁμολογεῖν καὶ κηρύττειν οὐκ ἀνεχόμενος. Ἡ μὲν οὖν ἀσέβεια, ὡς ἀπὸ περιφανοῦς ὁρμητηρίου ἐξιοῦσα τοῦ θρόνου, κατὰ πᾶσαν ἀναιδῶς ἐφαπλοῦτο τὴν Ἐκκλησίαν, καὶ διὰ πάσης μὲν ἐφέρετο γλώττης, πᾶσαν δὲ κατέσειε ψυχήν· πυρόςτε δίκην ἐπιβοσκομένη, ὅσοι μὲν εὐήθεις, καὶ κοῦφοι, καὶ ἀχυρώδεις τὸ φρόνημα, ῥᾶστα τούτους κατηνάλισκε συναρπάζουσα· τοὺς δὲ τῇ πίστει βεβηκότας, καὶ τῷ τῆς εὐσεβείας ῥιζώματι κατεστηριγμένους εἰς ἀποτροπὴν ἐκίνει, καὶ διανίστη πρὸς ἄμυναν. Τούτων εἷς ἦν πρὸ τῶν ἄλλων, ὁ τῶν Ἀλεξανδρέων τότε ἰθύνων τοὺς οἴακας, ὁ πολύςτε καὶ περιώνυμος καὶ σοφίᾳ καὶ ἁγιότητι Κύριλλος. Οὗτος γὰρ ἐννοήσας οἷ κακοῦ χωρήσει, μὴ ταχείας τῆς θεραπείας τυχὸν, τὸ δυσσέβημα, γράμμασιν αὐτίκα ἐντυγχάνει τῷ Νεστορίῳ, τῆς περὶ τὴν πίστιν καινοτομίας παύσασθαι παραινῶν, καὶ δογμάτων ἀποσχέσθαι βλασφήμων, δι᾽ ὧν τῆς τοῦ Λόγου ὑπὲρ ἡμῶν ἀθετουμένης συγκαταβάσεως καὶ κενώσεως, τὰ τῆς ὑπερφυοῦς οἰκονομίας κενὰ τῷ ὄντι καὶ φροῦδα ἠλέγχετο. Ἐπεὶ δὲ τὸν κατὰ μόνας ἔλεγχον οὐδὲν αὐτῷ ἑώρα περαίνοντα· ἀτεχνῶς δὲ εἰς ὦτα ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα ἐδόκει φθεγγόμενος, καὶ, οὐδὲ ἕνα καίτοι, καὶ δύο παραλαβὼν εὐαγγελικῶς,᾽ οὐδ᾽ οὕτως εἶχε τὸν ἀδελφὸν κερδᾶναι τραχηλιῶντα καὶ ἀφηνιάζοντα, ὅπερ ἦν λοιπὸν τὸ τοῦ παραγγέλματος, λέγει τῇ Ἐκκλησίᾳ. Καὶ γράφει μὲν τοῖς ἐν ὑπεροχῇ τῶν θρόνων ἐγκρίτοις, τὴν τοῦ ἀνδρὸς ἀσέβειαν ἀνακαλύπτων καὶ καταστηλιτεύων, διεγείρει δὲ καὶ αὐτοὺς εἰς τὸν ὑπὲρ τῆς εὐσεβείας ζῆλον καθυπαλείφων, καὶ τῷ ὀρθῷ καὶ ὑγιεῖ λόγῳ τῆς πίστεως κινδυνεύοντι προσαμῦναι ἅπαντας ἐποτρύνων καὶ παρορμῶν. Συναγείρει δὲ καὶ παρ᾽ ἑαυτῷ Σύνοδον ἰδίαν ἐκ τῶν

Ἀλεξανδρέων ϗ τῶν περιοικίδων ἐπαρχιῶν, ϗ τὸ δόγμα ἐν αὐτῇ πανταχόθεν περικρέσας, ϗ ὑπόχαλκον ὅλως ϗ κίβδηλον ἠχῦν ἀπελέγξας, ἐν δώδεκα Κεφαλαίοις, ϗ ἰσαρίθμοις τοῖς Ἀναθεματισμοῖς, τῆς Χριστομάχυ κακοφροσύνης καταψηφίζεται. Κυρίλλῳ δὲ ϗ ὁ Ῥώμης Καιλεστῖνος ὁ ἁγιώτατος συνεφάπτεται τῦ ἀγῶνος· ἰδιάζυσάντε ϗ αὐτὸς ἐκ τῶν περὶ αὐτὸν σύνοδον συγκροτήσας, τὰ μὲν ἐν τοῖς ὑπὸ Κυρίλλυ ἐκδοθεῖσι Κεφαλαίοις, ὡς ὀρθῶς προσίεται ϗ ἀσπάζεται δογματισθέντα, τὴν δὲ Νεςορίυ πλάνην καὶ φρενοβλάβειαν ἀναθέματι βάλλει, προσεπιβάλλων αὐτῷ ϗ ἀκοινωνησίας τὸ πρόςιμον, ϗ καθαιρέσεως παντελῦς, εἰ μὴ ἐντὸς ἡμερῶν δέκα, ἀφ' ἧς ἂν δέξαιτο τὰ κατ' αὐτῦ ψηφισθέντα, παλινῳδίαν ᾄσας, εἰλικρινῶς τὴν αἵρεσιν ἀποπτύσειεν. Οὕτως ῦν αὐτοὶ τῇ παρεισφρησάσῃ καινοτομίᾳ ἐξ ἐναντίυ εὐθὺς ἰέναι σπυδάσαντες, ὐκουν ὐδὲ τὺς ἄλλυς πρὸς τὴν ἴσην σπυδὴν ἀπώκνησαν διεγεῖραι. Πέμψαντες δὲ, ϗ Ἰυβεναλίῳ τῷ Ἱεροσολύμων, ϗ Ἰωάννῃ τῷ Ἀντιοχείας, διὰ Ποσειδωνίυ τῦ τῆς ἐν Ἀλεξανδρίᾳ Ἐκκλησίας Διακόνυ, τὰ κατὰ Νεςορίυ διεμήνυσαν αὐτοῖς πεπραγμένα, ἅμα μὲν τῦτο τὸ κακόνυν ϗ θεοβλαβὲς ὅσον, ἀπογυμνῦντες, ἅμα δὲ καὶ συνεργὺς ϗ αὐτὺς ἔχειν ϗ συμπράκτορας ἐν τῷ κατὰ τῆς ἀσεβείας ἀγῶνι προσεκκαλύμενοι. Παρέτυχον δὲ τῷ Ἰωάννῃ τότε, ὡς κατ' ἐπαρχιακὴν Σύνοδον ἐνδημῦντες τῇ Ἀντιόχυ, Ἀρχέλαόςτε ὁ τῆς ἐν Καππαδοκίᾳ Καισαρείας, ϗ Ἀπρίγγιος ὁ Χαλκίδος, καὶ Ἠλιάδης ὁ τῦ Ζεύγματος, Μελέτιόστε ὁ Νεοκαισαρείας, ϗ Μακάριος ὁ πρόσφατον Λαοδικέων Ἐπίσκοπος προβληθεὶς, ϗ σὺν αὐτοῖς ϗ Θεοδώριτος· ὃς ϗ τῶν λοιπῶν, μᾶλλον δὲ ϗ πάντων τῶν κατὰ τὴν Ἑώαν λῆξιν κατ' ἐκεῖνο προεδρίας λαχόντων, ἅτε δὴ σοφίατε, ϗ συνέσει προέχων, καὶ τῇ τῶν λόγων διαφέρων δυνάμει, ὅσα ϗ νῦς ἦν αὐτοῖς, ϗ γλῶσσα, ϗ χεὶρ, ὡς συνεῖναι μὲν τὰ δέοντα πρὸ τῶν ἄλλων δεινὸς, ϗ εἰς κάλλος φράσαιτε

ϗ

καὶ γράψαι τὰ νοηθέντα θαυμάσιος, διαπράξασθαί τε, καὶ εἰς ἔργον ἀγαγεῖν τὰ δόξαντα μετὰ τοῦ περιδεξίου πλούτου τὸ δραστήριον. Ἐξ οὗ μοι δοκεῖ καὶ τῶν συμβάντων ἔπειτα, αὐτῷγε τούτῳ ἐν τοῖς Ἀνατολικοῖς τὸ πλέον τῆς αἰτίας προσανατριβῆναι. Σύνηθες γὰρ ἀνθρώποις, ἐφ' ὅ,τι κράτιστον ἐν ἅπασιν ἀφορᾶν πρὸ τῶν ἄλλων ἀεὶ, καὶ ἀντὶ τῶν ἄλλων· καὶ τῶν συναιτίων τὰ πολλὰ ἀλογοῦντες, τῷ γε ὑπερέχοντι μόνῳ προσαναρτᾷν ἕτοιμοι καὶ προσαναγράφειν ὡς ῥέκτῃ τὰ κοινῇ δρώμενα. Τοιγαροῦν τὰ κατὰ Νεστορίου ταύτῃ διαμηνυθέντες οἱ περὶ τὸν Ἰωάννην, καὶ τὴν ἐν τῇ Ἐκκλησίᾳ κινηθεῖσαν ζάλην, ὡς οὐ μικρὸν ὑπιδόμενοι τὸν κίνδυνον ἐπαπειλοῦσαν, εἰ μήπως ἐν αὐτοῖς ὁ σάλος τοῖς προοιμίοις κοπάσειεν, οὐδ' αὐτοὶ ἐφ' ἡσυχίας μένειν ἀσφαλὲς εἶχον. Ἐκεῖνο δὲ διασκεψάμενοι πρὸ ἔργου ἂν ποιήσειν ὑπέλαβον, εἴτι καθυφεῖναι τῆς, ὡς ἐδόκουν, ψιλῆς κενοφωνίας τὸν Νεστόριον παραπείσαιεν, ὁμοφωνεῖν τε τὸν ἄλλως (ὡς ἡγοῦντο) ὁμογνωμοῦντα περὶ τὸ δόγμα παρασκευάσαντες, τήν τε ἔριν εὐθὺς ἐκ ποδῶν ποιήσειαν, καὶ τὴν στάσιν στήσαντες, τὸ τῆς εἰρήνης καλὸν ταῖς ἐκκλησίαις βραβεύσειαν. Ἔνθεν τοι καὶ πρὸς ἐκεῖνον, ὡς ἐξ αὐτοῦ τε ἅμα καὶ τῶν περὶ αὐτὸν εἰρημένων ἐπιστείλας Ἰωάννης, καὶ δὴ καὶ τῶν ἀπὸ Ῥώμης καὶ Ἀλεξανδρείας γραμμάτων τὰ ἀντίγραφα αὐτῷ διαπέμψας, συμβουλεύων φιλικὰ παρῄνει, περὶ φωνὰς ἐάσαντα ἀκαίρους ζυγομαχεῖν, τὴν Παναγίαν Παρθένον Θεοτόκον ὀνομάζειν μὴ παραιτεῖσθαι, ἀλλὰ τὸ εὐσεβὲς φρόνημα καταλλήλῳ ὀνόματι δημοσιεῦσαι· δέξασθαί τε προσηγορίαν, ἧς προσίετο τὴν διάνοιαν· καὶ ῥῆμα προσιθέναι πράγματι πολλοῖς τῶν Πατέρων καὶ συντεθὲν, καὶ γραφὲν, καὶ ῥηθέν. Ἐξ ὧν πάρεστι συνιδεῖν, ὅσον τούτοις, καὶ τοῖς ἄλλοις ὑπῆρχε, τῆς περὶ Νεστόριον ὑπολήψεως τὸ διάφορον. Καθ' οὗ γὰρ ἐκεῖνοι, ὡς ἀνίατα κομιδῇ νοσοῦντος, τοὺς τῶν ἀναθεματισμῶν σκηπτοὺς κατηκόντιζον, τοῦτον οὗτοι, ὡς μικροῦ καὶ ἄχρι χειλέων διαμαρτάνοντα, ἠπιωτέροις χρῆναι μετα-

Ἐπιστ. Ἰωανν. πρὸς Νεστόρ.

χειρί-

χειρίζεσθαι τοῖς φαρμάκοις ἡγοῦντο, ϗ ῥᾷστα ἤλπιζον πρὸς ὑγίειαν ἀνακαλέσειν, ἰάσιμα κάμνοντα. Οὕτω δὲ φρονεῖν περὶ αὐτοῦ τούτους ἐνῆγε, τάχα μὲν ἡ πάλαι πρὸς ἐκεῖνον φιλίας τε ϗ συνήθεια, καθ' ἣν καίτοι πολὺν συμβεβιωκότες αὐτῷ χρόνον, μηδὲν τοιοῦτον συνειδέναι εἶχον πρεσβεύοντι· τάχα δὲ ϗ τὸ ἔξω τῆς ἀκριβοῦς τοῦ πράγματος ἐρεύνης αὐτοὺς γενέσθαι τὸ κατ' ἀρχὰς, μηδ' ἐξετάσαι τέως εἰς βάθος τῶν ἑκατέρωθεν λεγομένων τὴν δύναμιν. Τάχα δὲ ϗ τὰ γινόμενα, ὡς ἐξ ἀντιπαρατάξεως οὐκ ἀπαθῶς συνισταμένης τὸν ἀγῶνα καθορᾷν δοκοῦντας, εἰς ἀμυνάντως ἀντιπερίστη τοῦ διωκομένου, ὡς τοῦ μὲν δῆθεν, ὑπὲρ ὃ τῷ ὄντι ἡμάρτανε, δίκας εἰσπραττομένου βαρυτέρας, τῶν δὲ, ὡς φορτικώτερον ἐπεμβαινόντων, ϗ ὑπὲρ τὸ δέον ἐλεγχόντωντε ϗ καταψηφιζομένων· ὃ δ' ἦν τὸ χεῖρον, ϗ ἐν τῷ τὴν ἀτοπίαν καθαιρεῖν οἴεσθαι, εἰς ἀτοπίας ἄλλας αὐτῶν καταφερομένων, οὐδὲν ἐλάσσονας. Οὕτω γοῦν καὶ γνώμης οὗτοι ϗ διαθέσεως ἔχοντες, ϗ κατὰ τῶν ἐκδοθέντων τῷ Θείῳ Κυρίλλῳ Κεφαλαίων γράψαι προήχθησαν. Καὶ μὲν οὖν γεγράφασιν ἐξ αὐτῶν ϗ ἄλλοι· καὶ γὰρ ϗ Ἀνδρέας ὁ Σαμοσάτων, ϗ Γεννάδιος ὁ μετὰ Ἀνατόλιον τοῦ ἐν τῇ βασιλευούσῃ θρόνου ὕστερον προστατεύσας· Ἄνδρε τῆς τε ἱερᾶς ἄμφω παιδείας εὖ ἥκοντε, ϗ εὐσεβείᾳ οὐδὲν ἧττον καλλυνομένω, ϗ ἠθῶν εὐκοσμίᾳ ϗ ἁγιότητι· οὐδενὸς δ' ἐς τοσοῦτον, ὅσον τὰ ὑπὸ Θεοδωρίτου γεγραμμένα τεθρύλληται ἀντιρρητικὰ, ἃ, τῇ μὲν, Ἰωάννου τῇ ἀξιώσει πειθόμενος, τῇ δὲ, ϗ τῆς ἀληθείας ὥσπερ ὑπεραμύνων, ἣν ἐν τοῖς Κυριλλείοις δογματισμοῖς ἀθετουμένην πολλαχοῦ ὁρᾷν ἐδόκει, σφοδρότερον τοῦ δέοντος συνετάξατο. Ἀμέλει τοι μὴ καθαρῷ, μηδ' ἀθολώτῳ τῆς ψυχῆς τῷ βλέμματι τοῖς ἐκείνου ἐναπιδὼν Κεφαλαίοις, αἱρέσεις οὐκ οἶδ' ἅστινας, ϗ ἀτοπίας ἐν αὐτοῖς ἔδοξε φαντασθῆναι, ἃς οὐδ' ὄναρ ἐπῆλθέ ποτε τῷ θεσπεσίῳ Ἀνδρὶ ἀναπλάσασθαι· μᾶλλον δὲ, ὧν ἀείποτε ϗ φρονῶν ὑπῆρχε, καὶ διδάσκων ἐκεῖνος τἀναντιώτατα.



Franckesche Stiftungen zu Halle

Οἷον (οὐ γὰρ ἴσως ἄσκοπον εἰς δεῖγμα παραθέσθαι ἐνταῦθα, καὶ τῶν ἀντιλογιῶν τὰ Κεφάλαια,) ὁ μὲν σάρκα γεγονότα τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ἐν τῷ Πρώτῳ δογματίζει τῶν Κεφαλαίων· Θεοδώριτος δὲ, ἀντὶ τοῦ εἰς σάρκα μεταποιηθῆναι τὸν ἄτρεπτον καὶ ἀναλλοίωτον, μεταλαβὼν, ἀσεβείας τῆς ἐσχάτης γράφεται τὸ λεχθὲν.

Ἐν δὲ τῷ Δευτέρῳ, ὁ μὲν τὸν αὐτὸν σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι· ὁ δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ὡς φωνὴν ἀλλόφυλον καὶ ξένην τῶν θείων ἐκσυρίττει Γραφῶν, καὶ ὡς κρᾶσιν παραδηλοῦσαν σαρκὸς καὶ θεότητος.

Ἐν δὲ τῷ Τρίτῳ, ὁ μὲν τὴν διαίρεσιν τῶν ὑποστάσεων μετὰ τὴν ἕνωσιν οὐ παραδέχεται, τὰς ὑποστάσεις ὡς πρόσωπα ἐννοῶν, σύνοδον δὲ εἰσάγει τὴν καθ' ἕνωσιν φυσικήν· ὁ δὲ τοὔνομα τὸ τῆς ὑποστάσεως (ὡς μήπω πάνυ, οἶμαι, τὸ τηνικαῦτα καθάπερ ὕστερον τετριμμένον) εἰς τὸ τῆς φύσεως σημαινόμενον ἀντιμεθελκόμενος, δύο (φησὶ) τὰς ἑνωθείσας ὑποστάσεις, εἴτουν φύσεις λέγειν οὐκ ἄτοπον, ἀλλὰ κατ' αἰτίαν ἀκόλουθον· τὴν δὲ φυσικὴν ἕνωσιν, ὡς κατηναγκασμένην, καὶ μὴ γνώμῃ, μηδὲ βουλήσει οὕτως ἂν γεγενῆσθαι δόξουσαν, διαπτύει.

Κἀν τῷ Τετάρτῳ δὲ, Κύριλλος μὲν τὰς ἐν εὐαγγελικοῖς καὶ ἀποστολικοῖς γράμμασιν, ἐπὶ Χριστοῦ μὴ χρῆναι διανέμειν διδάσκει φωνὰς, τὰς μὲν ὡς ἀνθρώπῳ, τὰς δ' ὡς Θεῷ ἰδίᾳ προσάπτοντας· καὶ τοῦτο δήπου διὰ τὸ ἓν αὐτὸν εἶναι πρόσωπον, καὶ ὑπόστασιν μίαν· ὁ δὲ κἀνταῦθα πάλιν αὐτὸν, ὡς τὴν σύγχυσιν καὶ κρᾶσιν τῶν φύσεων παρεισάγοντα, πᾶσαν διαμέμφεται ἀποκλείοντα τὴν τῶν ἐπὶ Χριστοῦ λεγομένων διαφορὰν, καὶ τοῖς τὰ Ἀρείου καὶ Εὐνομίου νοσοῦσι, πολλὴν οὕτω τὴν ἐξουσίαν τοῦ βλασφημεῖν παρεχόμενον.

Κἀν τῷ Πέμπτῳ δὲ, ὁ μὲν Θεοφόρον ἄνθρωπον μὴ δεῖν τὸν Χριστὸν ὀνομάζειν, ἀλλὰ Θεὸν, ὡς υἱὸν ἕνα, καθὸ γέγονε σὰρξ ὁ Λόγος· Θεοδώριτος δὲ, κεκοινωνηκέναι μὲν ἡμῖν παραπλησίως αἵματος καὶ σαρ-

κὸς,

κὸς, καὶ ψυχῆς ἀθανάτου τὸν Θεὸν Λόγον, διὰ τὴν ἕνωσιν τὴν πρὸς ταῦτα φαμὲν, σάρκα δὲ τὸν θεῖον Λόγον τροπῇ τινι γεγενῆσθαι, οὐ μόνον οὐ λέγομεν, φησὶν, ἀλλὰ καὶ τοὺς λέγοντας ἀσεβείας γραφόμεθα. Θεοφόρον δὲ τὸν Κύριον, καὶ πολλοὺς τῶν ἁγίων Πατέρων εἰρηκέναι προςτίθησι, καὶ μάλιστα τὸν μέγαν Βασίλειον.

Κἀν τῷ Ἕκτῳ, ὁ μὲν τοῦ Χριστοῦ δεσπότην τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ἀποκαλεῖν ἀπαγορεύει· ὁ δὲ Θεὸν καί τοι ὁμολογῶν τὴν προσληφθεῖσαν τοῦ δούλου μορφὴν διὰ τὴν ἑνωθεῖσαν αὐτῇ τοῦ Θεοῦ μορφὴν, οὐδὲν ἧττον ὅμως καὶ μετὰ τὴν ἕνωσιν Προφητικὰ ἄττα προβάλλεται λόγια, τὰ τὸν ἐκ σπέρματος Ἀβραὰμ δοῦλον ἀποκαλοῦντα, διὰ τὴν φύσιν ἣν προσελάβετο· πανταχοῦ δηλονότι ἐοικὼς ὑφορωμένῳ τὴν τῶν φύσεων σύγχυσιν.

Κἀν τῷ Ἑβδόμῳ δὲ, ὁ μὲν ἐπὶ τὸ μοναδικὸν ἀφορῶν τοῦ προσώπου, μηδαμῶς ἐνηργῆσθαι, μηδὲ δοξασθῆναι τὸν Ἰησοῦν ὑπὸ τοῦ Θεοῦ Λόγου ὡς ἄνθρωπον, ἀσφαλὲς οἴεται λέγειν, ὡς ἂν μὴ ἕτερος ὁ δοξασθεὶς τεθῇ παρὰ τὸν δοξάσαντα· ὁ δὲ, ἐνεργηθῆναίτε καὶ δοξασθῆναι αὐτὸν φρονεῖν ἀναπείθει, ἐπὶ τὴν διαφορὰν τῶν φύσεων αὖθις ἀνατρέχων· ἵνα μὴ ἡ τούτων ἄλλως παρεισαχθείη μεταβολήτε καὶ μεταποίησις.

Παραπλησίως δὲ κἀν τῷ Ὀγδόῳ, ὁ μὲν τὸν ἀναληφθέντα ἄνθρωπον, τῷ Θεῷ συμπροσκυνεῖσθαι, καὶ συνδοξάζεσθαι, καὶ συγχρηματίζειν ὡς ἕτερον ἑτέρῳ λέγειν, βλάσφημον τίθεται· τὸ γὰρ ΣΥΝ ἀεὶ, φησὶ, προςτιθέμενον, τοῦτο νοεῖν ἀναγκάζει· ὁ δὲ, μίαν μὲν τὴν δοξολογίαν προσφέρομεν, φησὶ, τῷ Δεσπότῃ Χριστῷ, καὶ τὸν αὐτὸν Θεὸν ὁμοῦ καὶ ἄνθρωπον ὁμολογοῦμεν, (τοῦτο γὰρ ἡμᾶς ὁ τῆς ἑνώσεως ἐδίδαξε λόγος,) τῶν δὲ φύσεων τὰς ἰδιότητας οὐ παραιτησόμεθα, διὰ τὸ ἄτρεπτον καὶ ἀσύγχυτον.

Ἐν τῷ Ἐννάτῳ δὲ, καὶ τοὺς δοξάζεσθαι λέγοντας τὸν Χριστὸν παρὰ τοῦ Πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει χρώμενον, ὁ Ἀλεξανδρείας τῷ ἀναθέματι βάλλει· ἴδιον γὰρ αὐτοῦ εἶναι τὸ Πνεῦμα, δι' οὗ ἐνήργησε

κ̀ τὰς θεοσημείας· ὁ δὲ Κύρȣ, πολλὰς ἐπαθροίσας Γραφικὰς μαρτυρίας, τὰς ἐκεῖνο λέγειν δοκȣ́σας, εἶτ' ἐπὶ πάντας, φησὶ, Προφήτας, καὶ ἁγίȣς, κ̀ αὐτὸν τὸν Κύριον, ὁ ἀκριβὴς τῶν θείων δογμάτων ἐξεταςὴς τȣ̃ ἀναθέματος τὴν βλασφημίαν ἐξέτεινε· προσθεὶς κ̀ τόδε, ὅτι ἴδιον τὸ Πνεῦμα τȣ̃ Υἱȣ̃, εἰ μὲν ὡς ὁμοφυὲς κ̀ ἐκ Πατρὸς ἐκπορευόμενον ἔφη, συνομολογήσομεν· εἰδ' ὡς ἐξ Υἱȣ̃, ἢ δι' Υἱȣ̃ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον τȣ̃το, κ̀ ὡς δυσσεβὲς ἀποῤῥίψομεν.

Ἐν δὲ τῷ Δεκάτῳ, ὁ μὲν Ἀρχιερέα καὶ Ἀπόςολον ἡμῶν γεγενῆσθαι, αὐτὸν τὸν ἐκ Θεȣ̃ Πατρὸς διατείνεται Λόγον, ὅτε γέγονε σάρξ, κ̀ καθ' ἡμᾶς ἄνθρωπος, ȣ̓χ ὡς ἕτερον παρ' αὐτὸν ἰδικῶς ἄνθρωπον· τὴν κατὰ πρόσωπον κ̀ ὑπόςασιν διαφορὰν εὐλαβȣ́μενος· ὁ δ' ἀντικρύει καὶ πρὸς ταῦτα τὸ σύνηθες, μὴ εἰς σαρκὸς φύσιν ἀνθυποφέρων τὴν ἄτρεπτον τραπῆναι φύσιν, ἀλλὰ τὴν ἀνθρωπείαν ἀνειληφέναι, κ̀ ταύτην ὑπὲρ τȣ̃ς κοινȣ̃ς Ἀρχιερέας καταςήσασθαι.

Ἐν τῷ Ἑνδεκάτῳ δὲ, ὁ μὲν τὴν σάρκα τȣ̃ Ἰησȣ̃ ζωοποιὸν εἶναι, ȣ̓χ ὡς ἑτέρȣ τινὸς παρ' αὐτὸν συνημμένȣ αὐτῇ κατὰ τὴν ἀξίαν· τȣ̃τέςιν, ὡς μόνην ἐσχηκότος θείαν ἐνοίκησιν· ὁ δὲ κἀκεῖνο αὐτȣ̃ καταμέμφεται πρὸς τοῖς ἄλλοις, τὸ μηδαμȣ̃ τῶν λόγων σαρκὸς νοερᾶς μνημονεῦσαι, ȣ̓́τε ἄνθρωπον τέλειον τὸν ἀναληφθέντα ὁμολογῆσαι· πανταχȣ̃ δὲ σάρκα λέγειν ἁπλῶς, Ἀπολλιναρίῳ συνᾴδοντα.

Τελευταῖον ἐν τῷ Δωδεκάτῳ, ὁ μὲν αὐτὸν εἶναι πρεσβεύει τὸν Θεὸν Λόγον, τὸν παθόντα σαρκὶ, καὶ ἐςαυρωμένον σαρκὶ, κ̀ θανάτȣ γευσάμενον σαρκί· ὁ δὲ, ἀντεπιφέρει, τὴν ἐν αὐτῷ πεπονθυῖαν διατελέσαι τȣ̃ δȣ́λȣ μορφὴν, συνȣ́σης αὐτῇ δηλονότι κ̀ τῆς τȣ̃ Θεȣ̃ μορφῆς, κ̀ οἰκειȣμένης διὰ τὴν ἕνωσιν τὰ παθήματα· ȣ̓χ ὥςε μέντοι κ̀ αὐτὸν παθεῖν, τὸν δ' ἐξ ἡμῶν ληφθέντα ὑπὸ τȣ̃ Θεȣ̃ ἄνθρωπον.

Ἄμφω μὲν ȣ̓̃ν, εἴτις ἀκριβῶς τοῖς ἑκατέρωθεν εἰρημένοις τε καὶ

ἀντειρημένοις τὸν νοῦν ἐπιστήσειε, κατὰ δόγματος χωροῦντες οὐκ εὐπρεποῦς, τοῖς τἀναντία ὡς ἐξ ἀντιπεριστάσεως ἐκκλίνειν πειρωμένοις ἐοίκασιν· ὁ μὲν γὰρ τὴν παρὰ τὸν εὐσεβῆ λόγον διαίρεσιν τῶν προσώπων ἐπὶ τοῦ ἐνανθρωπήσαντος Θεοῦ Λόγου ἐκτρεπόμενος, ἣν ἐπιδήλως τῇ Νεστορίου κακονοίᾳ ἑώρα συμβαίνουσαν, ἀπρὶξ εἴχετο τῆς ἑνώσεως· ὁ δὲ τὴν παρὰ τὸ δέον ἕνωσιν ὑποπτεύων, ὡς τροπὴν δοκοῦσαν εἰσάγειν τοῖς ἡνωμένοις καὶ σύγχυσιν, καὶ τοῦτο μὲν, τοῦ Ἀπολλιναρίου τὸ ἄνουν παρυποθάλπουσαν, τοῦτο δὲ, τὴν ὕστερον τοῦ Εὐτυχοῦς ἀτοπίαν ὠδίνουσαν, ἐκ παντὸς τρόπου ἠξίου τὰς ἐγχωρούσας ἀντεπάγειν διαφορὰς. Καὶ τόδε μὲν ἐπὶ τοσοῦτον οἶμαι ἀμφοτέρων ἂν εἴη ἐξίσου ἀποδεκτὸν, καὶ ἥκιστα ἐπιλήψιμον. Ἐκεῖνο δέ τις οὐκέτι ὅμοιον ἐν αὐτοῖς εὑρήσει ἐπισκεψάμενος, ὅτι τὸ μὲν ἀτόπημα, ὅπερ ἐν τοῖς ἐκδοθεῖσιν ὑπ' αὐτοῦ Κεφαλαίοις ὁ τῆς Ἀλεξανδρέων φωστὴρ κατεφέρετο, τῆς Νεστορίου κακοφροσύνης πραγματιῶδες ἦν καὶ γνήσιον ἀποκύημα· τὸ δ' ὅπερ ὁ τῆς Κυρεστηνῶν προστάτης ἐν τοῖς Ἀντιῤῥητικοῖς κατεγίνωσκεν, οὐδέν τι πλέον ἢ σκιά τις ἦν ὑπονοίας κενή τε καὶ φρούδη, τηνάλως οὕτως, οὗ φόβος οὐκ ἦν, τὸν Ἄνδρα καταδειμαίνουσα. οὐδὲν γὰρ τοιοῦτον ἐκ τῶν Κυριλλείων Δογμάτων, εὐλόγως φιλοκρινηθέντων, καὶ κατὰ τὸν ἐν αὐτοῖς νοῦν ἑρμηνευθέντων εἶχε συνάγεσθαι, ὡς ὁ χρόνος ὑπέδειξεν ὕστερον. Ἀλλὰ γὰρ καὶ τοῦτο ἄντις τῶν παρὰ τῆς ἄνωθεν εἰς ἡμᾶς Προνοίας ἐπιστημόντι τάξειεν εὐεργέτημα, τὸ τῇ μεταξὺ τοσούτων Ἀνδρῶν διαφωνίᾳ, πρὸς μικρὸν ἐνίοτε παραχωρεῖν, ἵνα τῇ δι' οἰκουμενικῆς καὶ πλήρους Συνόδου ἐξετάσειτε καὶ δοκιμασίᾳ περιφανέστερον μὲν ἡ τῆς κακοδοξίας στηλιτευθείη ἀπάτη, καθαρώτερον δὲ ἡ τοῦ δόγματος εὐσέβεια ἀναλάμψειεν. Ἡ γὰρ ἀλήθεια, καθάπερ
» ὕστερον αὐτῷ Θεοδωρίτῳ ἐπιστέλλων Λέων ὁ Ἁγιώτατος Ῥώμης φησὶ,
» λαμπρότερον μὲν ἐναποστίλβει, ἐγκάθηταί πως δὲ καὶ τῇ ψυχῇ ἑδραιό-
» τερον, ἐπειδὰν, ἃ πρὶν ἡ πίστις φθάσασα ἐκδιδάξειε, ταῦτα ὕστε-

„ ρον ἐπικυρώσασα προσεμπεδώσῃ, ἡ μετὰ ἀκριβείας γινομένη τῶν ζη-
„ τουμένων ἔρευνα καὶ διάσκεψις (1). Τοιγαροῦν καὶ συνέστη μὲν ἐπὶ τούτῳ, νεύματι μὲν Θεοῦ, κελεύσει δὲ τοῦ τότε αὐταρχοῦντος Θεοδοσίου τοῦ Νεωτέρου ἡ Σύνοδος κατὰ τὴν Ἐφεσίων συγκροτηθεῖσα Μητρόπολιν·
Ἔτ. 431. καὶ τὸ μὲν τῆς μιᾶς τε καὶ μοναδικῆς ὑποστάσεως ἐπὶ Χριστοῦ τοῦ Θεανθρώπου ἐκρατύνετο δόγμα τὸ εὐσεβὲς καὶ σωτήριον· ἡ δὲ ὑπέραγνος τοῦ Θεοῦ ἡμῶν Μήτηρ, αὐτὸ τοῦτο, ὃ κυρίως τε καὶ παναληθῶς ἦν, ἐγνωρίζετο, καὶ Θεοτόκος ἀνεκηρύττετο· τὸ δὲ βλάσφημον τοῦ Νεστορίου στόμα κατεσιγάζετό τε καὶ ἀπεφράττετο· αὐτὸς δὲ Νεστόριος ἔκπτωτος ἐκρίνετο τοῦ ἐπισκοπικοῦ ἀξιώματος, καὶ πάσης ἱερᾶς λειτουργίας ἀλλότριος. Ἀλλ' οὔπω μὴν οὐδ' οὕτω τὰ τῆς ἐκκλησίας τέλεον τῆς εἰρήνης ἀπήλαυεν· ἔδει γὰρ ἄρα, οὕτω δόξαν τῇ προνοίᾳ, μικρὸν ἔτι τῆς διαμάχης παραταθείσης, πολλῷ ἔπειτα ἡδίονα καὶ φαιδροτέραν τὴν τῶν ἀδελφῶν φανήσεσθαι ὁμοφωνίαν καὶ σύμπνοιαν. Ἀντεῖχε μὲν γὰρ τοῖς κατὰ τὴν Σύνοδον πεπραγμένοις τὸ τῶν Ἀνατολικῶν Πατέρων κόμμα, καὶ ἀπηρέσκετο. Ἡ δὲ πρόφασις, τὸ μὴ κατὰ κόσμον δῆθεν, μηδ' ἐν δίκῃ διαπραχθῆναι ἅττα καὶ πέπρακτο· κατεσπεῦσθαι δέ τοι τὴν περὶ τοσούτου πράγματος ψῆφον, ὑπ' ἐνίων αὐθεκάστως ἐπενεχθεῖσαν, καὶ οἷον εἰπεῖν αὐτοδικήσασαν, μήπω τῶν ἁπανταχόθεν συγκλήτων εἰς ταὐτὸ συνεληλυθότων, ὑφ' ὧν παρόντων εἰκὸς ἦν καὶ εὔλογον τὴν ἀνάκρισιν τελεσθῆναι, ἵν' ἡ Σύνοδος τὸ κῦρος εἶχε πλῆρες καὶ βέβαιον. Ἀμέλειτοι τῶν ἀπὸ Δύσεως, καὶ ἐξ Ἀνατολῆς Πατέρων ἐκπροθέσμως ἀπαντησάντων, ὑπὸ μόνων τῶν ἐξ Αἰγύπτου, καὶ Θράκης, καὶ τῆς Ἀσίας παρευρεθέντων Ἐπισκόπων ἅπαντα διεπεράνθη, τοῦ θείου Κυρίλλου τῆς Συνόδου ἐξάρχοντος.

(1) Ipſa quoque veritas, et clarius renitefcit, et fortius retinetur, dum quae fides prius docuerat, haec poſtea examinatio confirmauit. Leon. P. Epiſt. ad Theodor.

τος. Ἔνθεντοι καὶ ὁ τῶν Ἀνατολικῶν ὅμιλος, Ἰωάννου μὲν τοῦ Ἀντιοχείας ἀξιώσει, σπουδῇ δὲ δήπου καὶ γνώμῃ καὶ τῇ Θεοδωρίτου μάλιστα φασὶ διοικήσει, Σύνοδον ἑτέραν ἀντικαθιστάντες, ἀκυροῦν μὲν ἐπεχείρουν τὸ καθ' ἑαυτοὺς τὰ γενόμενα, τὸν δέτοι Κύριλλον ἅμα τῷ τῆς Ἐφέσου προέδρῳ Μέμνονι, καθαιρέσει καθυποβάλλειν. Τὸν μὲν, ὡς δῆθεν Αἱρεσιάρχην, δι' ἃς ὠδίνειν ἀτοπίας ἐδόκουν τὰ κατὰ Νεστορίου γεγραμμένα Κεφάλαια· τὸν δὲ, ὡς συνεργόντε τούτῳ καὶ συμπράκτορα γεγενημένον, καὶ ἐν ἅπασι μὲν αὐτῷ συμμαχήσαντα, τοῖς δ' ἐκ τῆς ἑτέρας μερίδος, βιαίωστε καὶ τυραννικῶς, ὡς ἐλέγετο, προσενηνεγμένον. Τοὺς δ' ὑπογράψαιτε καὶ συνθέσθαι τοῖς ἐναντίοις (ἧπερ ἔφασκον) τῆς εὐσεβείας δόγμασι τετολμηκότας, ἀκοινωνήτους ποιεῖν, ἕως ἂν ἐκεῖνα μὲν ἀναθεματίσωσιν, εἰς δὲ τὴν πίστιν τῶν ἐν Νικαίᾳ Πατέρων ἐπανέλθωσι. Τουτέστιν (ὅπερ ἦν τὸ πρᾶγμα εἰπεῖν) ἕως ἂν Κυρίλλῳτε καὶ Μέμνονι ἀποταχθέντες, κατ' αὐτοὺς τοῦ λοιποῦ τοὺς ἐξ Ἑώας καὶ φρονεῖν, καὶ λέγειν, καὶ πράττειν ἕλοιντο. Ἐπις. τῶν Ἀνατολ. ῥέφω.

Ταῦτα μὲν οὖν οἱ περὶ τὸν Ἀντιοχείας, τῶν ἐξ Ἀνατολῆς δηλαδὴ προέδρων τὸ στῖφος, κοινῇ κατεπράξαντο καὶ συμφώνως· πρὸ πάντων ὅμως Θεοδωρίτῳ τὸ πλέον προσετρίβετο τῆς αἰτίας, καὶ κατ' ἐκεῖνο τοῦ χρόνου, καὶ μετ' ἐκεῖνο, καὶ δεῦρ' εἰς ἀεὶ ἔσγε καὶ καθ' ἡμᾶς, ὕστερον. Καὶ ἧπου, οὐ πάντῃ τοῦ εἰκότος ἐκτὸς, οὐδὲ κομιδῇ ἀπιθάνως· Παρὰ γὰρ τὰς τῶν Κεφαλαίων διατεθρυλλημένας ἀντιῤῥήσεις ἐκείνας, οὗτος καὶ πέντε ἕτερα βιβλία προσεπιθεὶς, ἃ μετὰ τὴν Σύνοδον εὐθὺς ἐκδοῦναι λέγεται, Κύριλλόντε αὖθις τὸν θεσπέσιον ὑπὸ κακοδοξίας εὐθύνην ἦγε, καὶ τὴν Σύνοδον αὐτὴν ἔγραφε παρανόμων, ὡς Κυρίλλῳ καὶ μόνῳ τὸ δοκοῦν ἀγνωμόνως ἐξυπουργήσασαν. Καίτοι οὐδὲ τἄλλα λανθάνειν εἶχεν, ἀλλὰ καὶ πάνυ δῆλος ἦν, οἷστε δὴ, καὶ καθ' ὧν συνειστήκει, αὐτὸς ὢν ὁ καὶ χειρὶ τῇ ἑαυτοῦ, καὶ γνώμῃ, καὶ γλώττῃ διατιθέμενόστε καὶ πραγματευόμενος

νος ἕκαστα· ὥστε καὶ τῶν ἑπτὰ, οὓς τοσούτους, κελεύσματι τοῦ βασιλέως, ἀφ᾽ ἑκατέρας ἔδει παραστῆναι μερίδος εἰς ἀπολογίαν ὧν ἔδρασαν, τοῦτον ἀρχηγέτην οἷα καὶ ἀρχιτέκτονα ἐν τοῖς ἰδίοις εἶναιτε, καὶ παρὰ πάντων γνωρίζεσθαι. Ὅσα γὰρ, εἴτε πρὸς τὸν βασιλέα γράμμασι πολλάκις (ἤδη μὲν αὐτῶν παραγενομένων, μήπω δ᾽ εἰς ὄψιν ἐκείνῳ γενέσθαι συγχωρηθέντων) ὑπὸ τῶν Ἀνατολικῶν ἀνηνέχθη, τῶν κατὰ τὴν Ἔφεσον πεπραγμένων δηλωτικά· εἴτε πρὸς τὰς βασιλίδας ἰδίᾳ· καὶ τὰ πρὸς τὴν ἐν Κωνσταντινουπόλει Σύγκλητον, καὶ τὸν ἐν αὐτῇ Κλῆρον, καὶ τὸν ἐνταῦθα λαὸν· ὅσατε πρὸς ἄλλους ἄλλα, τῶν ἐν πολιτικοῖς λειτουργήμασι διαπρεπόντων συχνοὺς, καὶ τῶν ἐν Ἐκκλησιαστικοῖς βαθμοῖς μεγαλυνομένων, γέγραπταίτε καὶ λέλεκται, πάντα τῆς Θεοδωρίτου διαφερόντως ἦν καὶ φρενὸς ἐπινοήματα, καὶ φωνῆς ἀπηχήματα τὰ γραφόμενα καὶ λεγόμενα. Αὐτὸς γὰρ δὴ καὶ ἐν Χαλκηδόνι, ἔνθα μένειν ἄχρι τῆς τοῦ βασιλέως παρουσίας, ἑκατέρῳ τῷ μέρει προσετέτακτο, ἐπεὶ τοῖς μὲν ἐναντίοις ἐλευθέρως ἅπας ἀνεῖτο θεῖος νεὼς, τοὺς δὲ ἰδίους πανταχόθεν ἀποκλειομένους ἑώρα ὑπὸ τοῦ ἐνταῦθα ἐπισκοποῦντος, ἅτε δὴ τοῖς ἐκ τῆς ἀντιθέτου τάξεως καὶ τούτου προσέχοντος, οὐδ᾽ οὕτως ἔφερεν ἀργεῖν, ἀλλὰ καὶ πρὸ τῆς θέας τοῦ κρατοῦντος, τὸν μεταξὺ χρόνον παρακερδαίνων, ἀείτι τῶν συνοισόντων τοῖς σὺν αὐτῷ διετέλει οἰκονομῶν, καὶ τὰ παρόντα ὡς ἂν βέλτιστα σφίσι χοίη ἐπιμελῶς προνοούμενος. Τοῦτοι κἀν τῷ μέρει, ἐφ᾽ ὧν κατέλυον οἰκημάτων, ἐπὶ προσευχῇτε καὶ τῇ διανομῇ τοῦ λόγου μετὰ τῶν περὶ αὐτὸν ἐνδελεχῶς ἐκκλησιάζων, οὕτω ταῖς τῶν λόγων ἴϋγξι τοὺς πάντας ᾕρειτε καὶ κατέθελγεν, ὡς ὅλα πλήθη ἀπὸ τῆς ἀντικρὺ Βυζαντίου ἐπὶ τῇ ἀκροάσει συῤῥεῖν, καὶ μὴ μόνον τὸν λαὸν, ἀλλ᾽ ὅσον καὶ τῆς τοῦ λαοῦ μοίρας ὑπέρτερον, πολλοὺς καὶ τούτων ἀτεχνῶς πορεύεσθαι ὀπίσω αὐτοῦ, καὶ τῇ τῆς διδασκαλίας δυνάμειτε καὶ χάριτι ἁλισκομένους, οὐδὲν ἧττον ἀγάπης ἔμπλεως τῆς πρὸς αὐτὸν, ἢ θαύματος ἀπαλλάττεσθαι. Ἐφ᾽ ᾧ δὴ

καὶ τῶν Ἀνατολικῶν παρασυναγωγῆς ἐγκαλουμένων, αὐτὸς ἐνώπιον τοῦ Βασιλέως, ἐν τοῖς τοῦ Ῥουφινιανοῦ, παραστὰς (πολίχνιον δὲ ἦν πρὸ τῆς Χαλκηδόνος τοῦτο οὕτω καλούμενον) ὑπέρτε ἑαυτοῦ, καὶ τῶν ἄλλων ἀρκούντως ἀπολελόγηται, θαυμαστῇ τινι τῇ παῤῥησίᾳ χρησάμενος. Τί γάρ; ἢ δίκαιά τοι δοκεῖ (φησὶ) Βασιλεῦ, τοὺς μὲν ἀκοινωνήτους κατακριθέντας τούτους, ἐπ' ἀδείας ἔχειν, καθ' ἣν ἂν θέλωσιν Ἐκκλησίαν, ἐλευθέρας τὰς συνάξεις ἐπιτελεῖν, ἡμᾶς δὲ τοὺς ὑπὲρ τῆς πίστεως ἀγωνιζομένους, καὶ τούτουγε δὴ χάριν οὐδὲ κοινωνεῖν αὐτοῖς ἀξιοῦντας, ἔξω τῶν ἱερῶν Ἀνακτόρων ἀπείργεσθαι; τοῦ δὲ Βασιλέως, τί ἄρ' ἂν εἴη πρακτέον αὐτῷ ὑπανερομένου; ὁ δὲ, ὃ καὶ τῷ Κόμητι (φησὶ) τῷ σῷ, τῷ ἐπὶ τῶν δωρεῶν Μαγίστρῳ, κατὰ τὴν Ἔφεσον ἔδοξε καθῆκον ποιεῖν. Ἑκατέρῳ γὰρ ἐπίσης μέρει τὰς ἱερὰς ἐκεῖνος συνάξεις ἀπείρηκεν, ἕως ἂν τὸ περὶ τῆς εὐσεβείας ὁμοφώνως συνηχήσαντες μέλος, καὶ ἀλλήλοις εἰρηνεύειν ἑλόμενοι, ἅμα κατὰ τὸ αὐτὸ συνέλθωσιν· Ἐχρῆν οὖν καὶ Σὲ Βασιλεῦ, τῷ ἐνθάδε Ἐπισκόπῳ οὕτω ποιεῖν ἐπιτάσσειν, μηδ' ἐπιτρέπειν τοῖς ἑτέροις ἄνετον τὴν Ἐκκλησίαν εἰσιέναι αὐτὸν ἐνδιδόντα, τοὺς λοιποὺς ἡμᾶς ἀπείργειν, καὶ τῶν ταύτης περιβόλων ὡς ποῤῥωτάτω ἀποσοβεῖν. Ἀλλὰ τῷ Ἐπισκόπῳ, ἦ δ' ὅς, ὁ Βασιλεὺς, ἐπιτάττειν οὐ δύναμαι· οὐκοῦν, ὁ Θεοδώριτος, μηδὲ ἡμῖν ἐπίτασσε Βασιλεῦ. Καὶ συναγομένων οὕτως ἐν Ἐκκλησίᾳ ἐξίσου, αὐτίκα ὄψει, φησὶν, ὅσον πλείους, ἢ μετ' ἐκείνων, οἱ μεθ' ἡμῶν εἰσὶ συνεκκλησιάσοντες. Ἀμέλειτοι· ὥσπερ ἀναμφήριστον ὁ ἀνὴρ οὗτος, τῆς ἀντιξόου δόξης κατειληφέναι τὸν ἔλεγχον ᾤετο, οὕτω τοῦ καθ' ἑαυτὸν φρονήματος ἀνενδοιάστως ἦν τῇ ὀρθότητι πεποιθώς. Τοιγαροῦν καὶ μηδὲν πλέον, ἢ τῶν ἴσων τοὺς σὺν αὐτῷ τυγχάνειν ἠξίου, ὡς τῇ παραθέσει, καὶ (εἴποτε κατὰ ταὐτὸ τοῖς διαφόροις καὶ εἰς λόγους γένοιτο συνελθεῖν,) τῇ τῶν φρονημάτων παρεξετάσει, ῥᾷστα ἂν τῶν πάντων ἐπιγνωσομένων, πότεροι τὸ δόγμα ἐν ἀμφοτέροις ὑπῆρχον οἱ ὀρθοτομοῦντες, πότεροι δ'

Ἐπισ. πρὸς Ἀλέξ. Ἱεραπόλ.

οἱ τοῦτο παραχαράττειν τολμῶντες, καὶ κιβδηλεύοντες. Οὕτω δὲ αὐτὸν ἐν ἀδιστάκτῳ τῇ πληροφορίᾳ πεπεῖσθαι, καὶ τὸ ἐπίμονον αὐτοῦ, καὶ σταθηρὸν, καὶ ἀνένδοτον ἄχρι πόῤῥω σαφῶς παρίστησι. Τῶν γὰρ ἄλλων δόγματι μὲν τοῦ Βασιλέως, νεύματι δὲ πολὺ πρότερον, καὶ δυνάμει Θεοῦ, εἰρηνικὰ τέως φρονεῖν ἀναπεπεισμένων, καὶ τῇ παρ' ἑκατέρωθεν ἐκθέσει καὶ διατρανώσει ἧς εἶχον γνώμης καὶ πίστεως, ἅπασαν σχίσματος καὶ διχονοίας ἀφορμὴν ἐκ μέσου ποιησαμένων· καὶ τὸ μὲν τῆς περὶ ἡμᾶς οἰκονομίας Μυστήριον, κατὰ τὸν ἀκριβῆ, καὶ ὀρθῶς ἔχοντα λόγον σαφῶς συνομολογησάντων, Νεστόριον δὲ καὶ τοὺς ἐκείνῳ ὁμόφρονας, ἐν τῇ κατὰ Βέῤῥοιαν τῆς Συρίας παρὰ τῷ Ἀντιοχείας Ἰωάννῃ συγκροτηθείσῃ ἐφεξῆς Συνόδῳ, τῆς τῶν εὐσεβούντων μοίρας ἀποκηρυξάντων, ὁ δὲ, καὶ ταῦτα πόῤῥωθεν πυνθανόμενος (οὐ γὰρ ἔτυχε τῇ Συνόδῳ ταύτῃ συμπαρουσιάζων) ἔτι ὅμως ἐνέχων ἦν, ἔτι τὴν συναρπαγὴν ὑποπτεύων, καὶ τὴν τῆς πίστεως ἀθέτησιν ὑφορώμενος. Καὶ οὐδὲ πρότερον συνθέσθαι εἵλετο τοῖς ἄλλοις καὶ ὁμοφρονῆσαι, πρὶν ἢ τοῖς ὑπὸ Κυρίλλου ἀποσταλεῖσι γράμμασι, κατὰ τὴν τῆς Εὐφρατησίας Ἱεράπολιν (ἔνθα Ἀλεξάνδρῳ καὶ ἄλλοις ἐπισκόποις συνῆκτο Σύνοδος) ἐντυχὼν, καὶ ἐπιμελῶς ἀναγνοὺς, καὶ τὸ περὶ τὴν πίστιν τοῦ Ἀνδρὸς ὀρθὸν καὶ ἀκέραιον ἀκριβῶς ἐπιγνοὺς, ἅπαν τελευταῖον ὑπονοίας ἴχνος ἐξήλειψε τῆς ψυχῆς, καὶ τὴν μετὰ Κυρίλλου, καὶ τῶν λοιπῶν Ἀδελφῶν ἠσπάσατο κοινωνίαν, τῷ χορηγῷ καὶ πρυτάνει τῆς εἰρήνης Θεῷ φαιδρῶς ἐπάρας τὰ χαριστήρια. Ὁ γὰρ πάντα φησὶ „ (πρὸς Ἰωάννην τὸν Ἀντιοχείας μετὰ τὰς διαλλαγὰς ἐπιστέλλων) σοφῶς „ πρυτανεύων Θεὸς, καὶ τῆς ἡμετέρας προμηθούμενος ὁμονοίας, καὶ „ τῆς τῶν λαῶν κηδόμενος σωτηρίας, συναθροισθῆναι ἡμᾶς κατὰ ταὐ„ τὸ παρεσκεύασε, καὶ συμφώνους ἀλλήλοις τὰς πάντων ἔδειξε γνώμας. „ Ἐν κοινῷ γὰρ ἀναγνόντες τὰ Αἰγύπτια γράμματα, καὶ ἐξετάσαντες „ αὐτῶν ἀκριβῶς τὴν διάνοιαν, εὕρομεν σύμφωνα τοῖς εἰρημένοις τὰ

Ἐπιστ. Θεοδωρ. Ἰωάν. Ἀντιοχ.

„ ἐκεῖθεν

„ ἐκεῖθεν ἀπεσταλμένα, καὶ ἄντικρυς ἐναντία τοῖς δώδεκα Κεφαλαίοις,
„ οἷς μέχρι τοῦ παρόντος ὡς ἀλλοτρίοις τῆς εὐσεβείας πολεμοῦντες διε-
„ τελέσαμεν. Εἶθ' ἅπερ ὡς ἐξ ἐκείνων τῶν Κεφαλαίων ἑπόμενα δοκι-
μάζειν πρότερον οὐκ ἠξίου, καταλέξας συντόμως (ἦν γὰρ τοῦτο σαφῶς
ἐξ ἀρχῆς εἰς τέλος τὸ παραγαγόντε καὶ παρακροῦσαν τὸν Θεοδώριτον,
ὅτι ἐκ τῶν Κεφαλαίων ὧν εἴρηται, ἐπισυνάγεσθαι αὐτῷ ἐδόκει τὰ τοῦ
ὀρθοῦ λόγου ἀπᾴδοντα) τάγε νῦν φησὶν ἀπεσταλμένα, τῇ Εὐαγγελικῇ
„ εὐγενείᾳ καλλύνεται. Θεὸς γὰρ τέλειος, καὶ ἄνθρωπος τέλειος ὁ Αὐτ.
„ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναδείκνυται ἐν αὐτοῖς. Καὶ φύσεις δύο,
„ καὶ τούτων διαφορά, καὶ ἕνωσις ἀσύγχυτος, οὐ κατὰ κρᾶσιν καὶ φυρμόν,
„ ἀλλ' ἀποῤῥήτως καὶ Θεοπρεπῶς γενομένη, καὶ τῶν φύσεων τὰς ἰδιότη-
„ τας ἀκρατῶς διαλλάξασα· καὶ ἀπαθὴς μὲν ὁ Θεὸς λόγος, καὶ ἄτρε-
„ πτος, παθητὸς δὲ ὁ ναός, καὶ τῷ θανάτῳ πρὸς ὀλίγον παραδοθείς,
„ καὶ πάλιν τῇ δυνάμει τοῦ ἑνωθέντος Θεοῦ ἐγερθείς. Καὶ τὸ Πνεῦ-
„ μα τὸ ἅγιον οὐκ ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ Πατρὸς
„ ἐκπορευόμενον, ἴδιον δὲ Υἱοῦ, ὡς ὁμοούσιον ὀνομαζόμενον. Καὶ ταῦτα
μὲν ὁ θεσπέσιος Κύριλλος οὐ τηνικαῦτα μόνον, ἀλλ' ἤδη καὶ πρότερον,
καὶ ἀεὶ διετέλει οὕτω φρονῶν. Ἐπεὶ δὲ πρὸς τὴν ἕνωσιν τῶν φύσεων, ὁ
κατὰ τοῦ ἀθετοῦντος αὐτὴν Νεστορίου, δικαιότατος ζῆλος εἰς ἀγῶνα τοῦ-
τον ἐκίνει καὶ διηρέθιζεν, ἀκριβολογεῖν πρὸς τὸ παρὸν τὰ τῆς διακρίσεως
τάχα καὶ περιττὸν ἡγεῖτο, ὡς ἤδη μὲν ὑποτιθεμένης, ἐν καιρῷ δὲ καὶ
ταύτης, δεῆσαν, πανευσεβῶς αὐτῷ ἐκτεθεισομένης. Αὐτὸς γὰρ ὁ μα-
καρίτης Κύριλλος γράφων τῷ μακαρίῳ Ἀκακίῳ, τὸν τῶν Κεφαλαίων
„ τούτων παρεδήλωσε σκοπόν, εἰρηκὼς ὅτι ἐκεῖνο πρὸς τὰς τοῦδε και Ἐπιστ.
„ νοτομίας ἐγράψαμεν, καὶ ὅτι τῆς εἰρήνης γενομένης ἐκλευκανθήσεται. ρίϛ. Δόμν.
Ὃ δὴ καὶ πεποίηκε τέως τοῦ καιροῦ ἀπαιτήσαντος καθαρῶς οὕτω καὶ ἀμέμ-
πτως, ὡς καὶ τοὺς ἐπ' αὐτῷ, ὡς ἑτεροφρονοῦντι τὸ πρὶν σκανδαλιζομένους,



Franckesche Stiftungen zu Halle

τέλεον κατασιγασθῆναι, καὶ μηδὲ ἔχειν αὐτὸν ἐπὶ τῆς εὐσεβείας μὴ ἀποδέξασθαι. Ὁ δὲ Θεοδώριτος ἐν ἀσφαλεῖ ἤδη τὸ δόγμα τῇ γενομένῃ πλατυτέρᾳ ἐκθέσει τε καὶ διασαφήσει καθεστὼς ὁρῶν, μηδεμίαν τε τροπὴν ἢ σύγχυσιν ἐκ τῆς ὁμολογίας τὸν ἄνδρα ἐμπαρεισάγειν πειθόμενος, αὐτίκα χεῖρας καὶ αὐτὸς τὸ τοῦ λόγου ἐδίδου, καὶ τὴν πίστιν ἠσπάζετο, καὶ τὴν κοινωνίαν προσίετο καὶ Θεὸν ἀκραιφνῶς ἀνύμνει τε καὶ ἐγέραιρε, τὸν τὴν εἰρήνην τὴν αὐτοῦ ταῖς Ἐκκλησίαις ἐπιβραβεύσαντα. Ταύτην

Ἐπισ. Ἰωάννη Ἀντιο. „ γὰρ τὴν ὀρθότητα (φησὶν) ἐν τοῖς γράμμασι θεασάμενοι, ὑμνήσαμεν τὸν τὰς ψελλιζούσας γλώσσας ἰατρεύσαντα, καὶ τὸν ἀπηχῆ „ φθόγγον εἰς ἡδεῖαν ἁρμονίαν μεταῤῥυθμίζοντα. Καὶ μετ᾽ ὀλίγα „ πάλιν· Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς, οὕτω τε καὶ „ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες (εἷς γὰρ Κύριος, μία πίστις, ἓν βάπτισμα,) ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα Θεὸν, ἀλλήλοις συγχαίροντες, ὅτι ταῖς θεοπνεύστοις γραφαῖς, καὶ τῇ παραδόσει τῶν ἁγίων Πατέρων, συμβαίνουσαν ἔχουσι πίστιν, αἵτε παρ᾽ ἡμῖν, καὶ παρ᾽ ὑμῖν ἐκκλησίαι. Ἐξῆς οὖν τοῦ σχίσματος οὕτως ἐκποδῶν γενομένου, τῷ τε συνδέσμῳ τῆς εἰρήνης εἰς ἓν συναφθέντες οἱ τέως διαφερόμενοι, καὶ δι᾽ ἀμοιβαίων ἤρξαντο γραμμάτων ἐντυγχάνειν ἀλλήλοις, δι᾽ ὧν ψυχαῖς τὸ τῆς ἀγάπης καλὸν συνέχεται καὶ κρατύνεται. Καὶ Κύριλλος μὲν τὸ περὶ τοῦ Ἀπομομπαίου χιμάῤῥου κάλλιστον ὑπόμνημα, ὃ τῷ Μελιτινῆς Ἀκακίῳ ἀρτίως ἦν ἐκπεφιλοπονηκὼς, μετὰ καὶ τῶν κατὰ τοῦ Ἀποστάτου Ἰουλιανοῦ αὐτῷ συγγραφέντων, τῷ Ἀντιοχείας Ἰωάννῃ ἀνεκοινοῦτο, ἀξιῶν αὐτὰ καὶ τοῖς λογιωτάτοις τῶν κατὰ τὴν αὐτοῦ διοίκησιν ἀνδράσι διαπεμφθῆναι· Ἰωάννης δὲ τὰς βίβλους παραυτίκα πρὸς Θεοδώριτον (τίς γὰρ ἐκείνου λογιώτερος, καὶ τὰ τοιαῦτα κρίνειν δεινότερος;) διεπόρθμευε. Θεοδώριτος δὲ τὰ οἱ πεμφθέντα ἐπιμελῶς ἀναγνοὺς, εἰλικρινῶς ἐδοκίμαζεν· ἐπιστέλλων τε ἐπ᾽ αὐτοῖς Κυρίλλῳ, ταῖς δικαιοτάταις τὸν Ἄνδρα κα-

τέ-

τέτεφεν εὐφημίαις, ὥσπερ ἐνέχυρα τῆς πρὸς αὐτὸν αἰδοῦς καὶ φιλίας τοὺς ἐν τοῖς γράμμασιν ἐπαίνους κατατιθέμενος. Ἐφ' οἷς καὶ τοῦτον ὁ Κύριλλος ἠμείβετο τοῖς ἴσοις· καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις· ὡς τὴν διὰ τῶν ἐπιστολῶν ταύτην συντυχίαν, τῆς πρὸς ἀλλήλους διαλλαγῆς καὶ εἰρήνης μαρτύριον οἷον ἐπιτεθεῖναι καὶ ἐπισφράγισμα. Εἰ γὰρ καὶ ἔδοξαν πρὸς βραχὺ καὶ ὕστερον ὑπόνοιάν τινα ὑποτρέφοντες κατ' ἀλλήλων, ὡσανείπως καὶ τὰς σκιὰς (ὃ τῆς ἀνθρωπίνης ἐστὶν ἀσθενείας) μετὰ τὴν τῶν πραγμάτων πεῖραν ὑποδειμαίνοντες, ἀλλ' ἐν τοῖς ὀρθοτομοῦσι τὸν λόγον ἀλλήλους ἠρίθμουν ἀμφότεροι· οὐδὲν γὰρ ἐν αὐτοῖς τοῦ λοιποῦ συνέπεσεν ἐπιδήλως, οἷον ἂν τῆς ἀγαθῆς περὶ τὴν πίστιν ἑνώσεως αὐτοὺς διασχίσαι, καὶ τὴν καλὴν συνταράξαι ἁρμονίαν, δι' ἧς συμφώνως τὸ ὑπερφυὲς τῆς περὶ ἡμᾶς οἰκονομίας μυστήριον ἄμφω ἠχοῦντες, ἕνα τὸν αὐτὸν ἐκήρυττον τῇ ὑποστάσει τὸν ἐν δυσὶ τελείαις ταῖς φύσεσιν ἀσυγχύτως ἑνουμέναις γνωριζόμενόν τε καὶ προσκυνούμενον. Ἀλλὰ τὰ μὲν πρὸς Κύριλλον, καὶ ὅσα κατὰ τὴν ἐπὶ Νεστορίου στάσιν Θεοδωρίτῳ συνέβη πρὸς ἐκεῖνον διενεχθῆναι, ὡς ἐν Κεφαλαίῳ ἐκθέσθαι τοιαῦτα, καὶ εἰς τοῦτο πέρατος ἥκοντα.

Τῷ δὲ τῆς Κύρου Προέδρῳ, οὔπω ἄρα οὐδ' ἐνταῦθα κοπάσειν ἔμελλε τὸ κλυδόνιον· ἀπέκειτο δὲ αὐτῷ καὶ εἰς ἄλλου πεῖραν ἔτι γενέσθαι πειρασμοῦ χαλεπωτέρου καὶ μείζονος. Ἔδει γὰρ ὡς ἐν χωνευτηρίῳ αὐτὸν καὶ αὖθις καθίεσθαι, ἵν' ἐντεῦθεν καθαρώτερον αὐτοῦ τῆς πίστεως ἀναφανῇ τὸ δοκίμιον. Εἶχε μὲν γὰρ Κύριλλον τὸν θειότατον ἐνθένδε ἤδη * Ἔτ. 444. μεταναστάντα ἡ κρείσσων λῆξις, τῶν ὑπὲρ τῆς εὐσεβείας καμάτων τὰ ἔπαθλα κομιούμενον· εἶχε δὲ Κυρίλλου τὸν θρόνον παραχωρήσει Θεοῦ ὁ Διόσκορος, εἰς ἐπήρειαν τῆς ἀληθείας προχειρισθεὶς, καὶ τὴν μικρὸν ὅσον ἐπιλάμψασαν ταῖς ἐκκλησίαις εἰρήνην αὖθις διαταράξων· ὅτε δὴ Θεοδώριτος τῶν εἰς τὸν πρῶτον ἀκρίτως ἐξημαρτημένων, ὑπὸ τοῦ δευτέ-

ρου τὰς δίκας οἷον παρεισπραττόμενος, Νεστοριανισμοῦ ἀδικωτάτην φεύγει γραφὴν, καί τοι μηδὲ τὴν ἀρχὴν ἐπιεικῶς τῷ βλασφήμῳ τῷδε συνθέμενος δόγματι, καὶ ἔναγχος ἤδη τοῖς κατὰ Νεστορίου ὑπαγορευθεῖσι τόμοις δὶς ὑπογράψας. Οἱ μὲν οὖν διώκοντες τῶν ἐξ ἑώας ὑπῆρχον τινὲς μοναχῶν, οἳ τῇ ἀρτίως ἀνακυψάσῃ τοῦ ἀθλίου Εὐτυχοῦς αἱρέσει προσανακείμενοι τὴν Ἀλεξανδρέων κατειληφότες, Διοσκόρῳ τῷ πρωταγωνιστῇ τῆς αἱρέσεως εἰσαγγέλλουσι τὸν Θεοδώριτον, ὡς τὴν Νεστορίου δῆθεν κακοδοξίαν ὑποθάλποντα, καὶ εἰς υἱοὺς δύο τὸν ἕνα Κύριον καὶ Σωτῆρα καταμερίζοντα· ὁ δὲ, προφάσει μὲν τῆς εὐσεβείας ὑπεραμύνων, καὶ τὴν ὑπολειφθεῖσαν τοῦ Νεστοριανισμοῦ ζύμην ἐξαλεῖψαι σπουδάζων, ταῖς δ' ἀληθείαις τὰ τῶν Εὐτυχιανῶν, οἷς ἰσχυρῶς προκατείληπτο, συστῆσαι φιλονεικῶν, ὡς οὐδένα τοῦ Θεοδωρίτου σφοδρότερον τῆς ἰδίας ἦν ὑποπτεύων κακοφροσύνης ἀντίπαλον, ἐμμανῶς λίαν κατὰ τούτου λοιπὸν φερόμενος, ἁρπάζει δὴ τὴν κατηγορίαν ὡς ἕρμαιον· (εἰ μὴ καὶ αὐτὸς ἐτύγχανεν ὁ διεσκευωρηκὼς αὐτὴν, καὶ λάθρα τυρεύσας·) καὶ μηδὲν ὅλως ἐφ' οἷς ἐνεκαλεῖτο, τούτῳ πρότερον δηλώσας· οὐκουν εἰ τοιόνδετι φρονῶν ὑπῆρχεν ἀληθῶς ἀνακρίνας, οὐκ ἀπολογίας αὐτῷ μεταδοὺς, οὐκ εἰς ἐπιστροφὴν καὶ μετάνοιαν παρακαλέσας, ἀποτόμως οὕτως ἐπὶ τὴν κατ' αὐτοῦ δίκην αὐτίκα χωρεῖ, καὶ εἰς Σύνοδόν τινα τῶν ἀμφ' αὐτὸν τοὺς ὁμόφρονας συναγείρας, τὸν ἐκ τοῦ ἑώου κλίματος Ἐπίσκοπον ὁ Αἰγύπτιος αὐθεντικῶς κατακρίνει, καὶ τῆς τῶν ὀρθοδοξούντων μοίρας ἀλλότριον ἀποφήνας, ἀνάθεμα τίθησι. Τούτων γοῦν πυθόμενος, καὶ τῇ καθ' ἑαυτὸν συνειδήσει ὁ Θεοδώριτος πεποιθὼς ἐπιστέλλει τῷ Διοσκόρῳ, τήν τε καθ' ἑαυτοῦ διαβολὴν ἀποτρίβων, καὶ ὅτι μὴ θατέραν αὐτῷ τῶν ἀκοῶν ἀκεραίαν, ἣ ἐκείνου διεφύλαξε τελειότης, ὥσπερ ἦν εἰκὸς, σχετλιάζων καὶ ποτνιώμενος. Καὶ τοῖς μὲν τρισὶν, ἢ τέσσαρσιν ἐκείνοις, ἢ πέντε καὶ δέκα, τοῖς αὐτὸν διαβεβληκόσι, τοὺς ἐν ἓξ ἔτεσιν ἐπὶ Θεοδότου, τρισὶ δὲ καὶ δέκα ἐφεξῆς ἐπὶ Ἰωάννου,

Ἐπιστ. Διοσκ.

ἑπτὰ

Franckesche Stiftungen zu Halle

ἑπτὰ δὲ τέως ἐπὶ τȣ̃ μετὰ τȣ̃τον Ἀντιοχείας Δόμνȣ (ἤδη γὰρ ἐκ τοσȣ́τȣ μετηλλάχει τὸν βίον ὁ Ἰωάννης) τῶν αὐτȣ̃ λόγων ἐπ' ἐκκλησίας ἐπαίοντας ἀντιπαρατάττει. Ταυτὸν εἰπεῖν τοῖς ὀλιγαρίθμοις συκοφάνταις, πολλȣ̀ς μὲν τῶν ἐν ἐκκλησιαστικοῖς θώκοις διαπρεπόντων, πολλȣ̀ς δὲ τῶν ἐκ τȣ̃ κλήρȣ, καὶ μυριάδας ἐπὶ τȣ́τοις ὅλας ὀρθοδόξων, τῶν εὐσέβειαν αὐτῷ προσμαρτυρȣ́ντων, ἀντικαθίστησιν. Ἔπειτα δὲ καὶ τῶν ἐν Αὐτ.
Νικαίᾳ τὸ πρὶν Πατέρων, καὶ τῆς ἐν Ἐφέσῳ τὸ ἔσχατον συστάσης ἁγίας Συνόδȣ, τοῖς δόγμασιν εὐπαῤῥησιάστως ἐπαγγέλλεται στοιχεῖν, καὶ ταῦτα ἀραρότως πρεσβεύειν· τὴν δὲ εἰς τὸν ἕνα Κύριον καὶ Σωτῆρα Ἰησȣ̃ν Χριστὸν πίστιν, ἐκ τῶν Ἱερῶν Γραφῶν πανσόφωστε καὶ πανευσεβῶς κατασκευάζων, ἐμμένειν ὁμολογεῖ ταῖς διδασκαλίαις τῶν αὐτὰς ἡρμηνευκότων ἁγίων Πατέρων, Ἀλεξάνδρȣ καὶ Ἀθανασίȣ, τῶν μεγαλοφώνων κηρύκων τῆς ἀληθείας, καὶ Βασιλείȣ, καὶ Γρηγορίȣ, καὶ τῶν ἄλλων τῆς ἐκκλησίας φωστήρων. Καὶ μὴν καὶ τοῖς τῶν μακαριωτάτων Θεοφίλȣ τε καὶ Κυρίλλȣ γράμμασι κεχρημένος, ἑτοίμως ἔχειν, προστίθησι, τȣ̀ς ἀντιλέγειν τολμῶντας ἐπιστομίζειν. Πρὸς οἷς καὶ τῶν μετὰ τȣ̃ θεσπεσίȣ Κυρίλλȣ γενομένων αὐτῷ διαλλαγῶν μέμνηται, καὶ τὴν ἰδίαν πιστοποιεῖται ἀκρίβειαν καὶ διάθεσιν, ἣν ἐκεῖνος αὐτῷ διὰ γραμμάτων τέως προσεμαρτύρησεν. Ἐπὶ τȣ́τοις καὶ τὸ δὶς ἤδη τοῖς κατὰ Νεστορίȣ φθάσαι τόμοις καθυπογράψαι, ὡς ἔμπρακτόν τινα καὶ ὑπονοίας αὐτὸν ἁπάσης κρείττονα καθιστῶσαν
» ἐπιφέρων ὁμολογίαν, μαρτυρȣ̃σιν ἡμῖν αἱ χεῖρες φησίν. Ἐπὶ δὲ πᾶσι Αὐτ.
καὶ τὸ βραχὺ μὲν τοῖς ῥήμασι, τῇ δὲ δυνάμει μέγα ὑποσυνάψας τόδε
» ἀκροτελεύτιον. Εἴτις ȣ̓χ ὁμολογεῖ (φησὶ) τὴν ἁγίαν Παρθένον Θεο-
» τόκον, ἢ ψιλὸν ἄνθρωπον ἀποκαλεῖ τὸν Κύριον ἡμῶν Ἰησȣ̃ν Χριστὸν, ἢ
» εἰς δύο υἱȣ̀ς μερίζει τὸν ἕνα μονογενῆ καὶ πρωτότοκον πάσης τῆς κτί-
» σεως, ἐκπέσοι τῆς εἰς Χριστὸν ἐλπίδος· καὶ εἰπάτω πᾶς ὁ λαὸς γέ-
» νοιτο, γένοιτο.

Ταῦτα

Ταῦτα μὲν οὖν κἂν αὐτὸν τὸν τῆς αἱρέσεως προασπιστὴν καὶ πατέρα Νεστόριον κακοφροσύνης αἰτίας ἀπέλυσε, μεθ' οὕτως ἐμβριθοῦς καὶ λαμπρᾶς τῆς παῤῥησίας ὁμολογούμενα. Τὸν μέντοι Διόσκορον καταιδέσαι οὐκ ἴσχυσεν· οὐδέντι γὰρ τὸ παράπαν τῆς περὶ τὸν Ἄνδρα ὁρμῆς οὐδ' ἐπὶ τούτοις οὗτος ὑφῆκεν. Ἐπεὶ μηδὲ τοῦ τὰ Νεστορίου τῷ ὄντι φρονοῦντος κατέτρεχε, τοῦ δὲ τὰ Εὐτυχοῦς, ὧν αὐτὸς προΐστατο, γενναίως καταγωνιζομένου, καὶ περιτρέποντος. Ταύτητοι καὶ Δόμνῳ τῷ Ἀντιοχείας, καὶ Φλαβιανῷ τῷ Κωνσταντινουπόλεως προστνεμεσῶν καὶ ἀπεχθανόμενος, τῷ μὲν, ὅτι μὴ ἐπὶ τῇ εἰρημένῃ ταύτῃ κατὰ Θεοδωρίτου δίκῃ ἔσχεν ὁμόψηφον, τῷ δ' ὅτι καὶ κατὰ τοῦ Εὐτυχοῦς μικρῷ πρόσθεν ἀντίψηφον, μίαν κατὰ τῶν τριῶν συναρτύει βουλὴν, καὶ ἐν εὐσεβείας προσχήματι κατὰ τῶν τῆς εὐσεβείας ζηλωτῶν ἀποδύεται καὶ προμάχων, πάντα κάλων τὸ τοῦ λόγου κινῶν, ὥστε τούτους μὲν ἀπελάσαι ὧν προΐσταντο θρόνων, ὡς δῆθεν τὸ δόγμα παραχαράττοντας καὶ κιβδηλεύοντας, Εὐτυχέα δὲ, ὡς ὀρθοτομοῦντα τὸν λόγον δικαιῶσαι, καὶ ὅσοι ἐκείνῳ ὁμόφρονες· ὃ δὴ μέχρι τινὸς (Θεοῦ κρίμασιν οἷς οἶδε παραχωροῦντος.) καὶ ἐκτελέσαι κατίσχυσεν. Πολλοὺς γὰρ τῶν ἐν τοῖς βασιλείοις μάλιστα δυναμένων (ὧν τὰ πρῶτα φέρων ἐτύγχανεν ὁ χλένηστε καὶ γύνις Χρυσάφιος) τοὺς μὲν ὠνίους δηλονότι χρυσοῦ περιποιησάμενος, τοὺς δὲ καὶ ἅτε ὁμοδόξους, ἑτοίμους ἔχων ὑπουργοὺς ἑαυτῷ καὶ συμπράκτορας, ῥᾷστα διὰ τούτων ὑπελθὼν παραπείθει τὸν Βασιλέα, ὡς ἐπ' ἀνακρίσει τῶν κατὰ τοῦ Εὐτυχοῦς προδιαπραχθέντων Σύνοδον κοινὴν ἐπιτάξαι συγκροτηθῆναι, ἐν ᾗ Φλαβιανὸς μὲν δίκας ἀπαιτηθείη, ὧν εἰς Εὐτυχέα δῆθεν ἠνόμησε, Θεοδώριτος δὲ τῆς Νεστορίου κακοδοξίας τἀπίχειρα τίσειε, μηδὲ παρεῖναι τῇ Συνόδῳ ἐπιτραπεὶς, ὡς ἄρα ἐπιδήλως οὗτος ὑπεύθυνος ὤν, καὶ ἄλλως θερμουργὸς ἀνὴρ, καὶ ἐπιχειρηματικὸς, καὶ πολύτροπος, καὶ δεινὸς εἴπερ τις μάλιστα, ἣν παρουσιάσῃ, τὰ τῆς Συνόδου συγχέαι, καὶ πάντα ἄνω καὶ

κάτω

Franckesche Stiftungen zu Halle

κάτω ποιῆσαι τὰ πράγματα. Τοιγαροῦν ἐπὶ τούτοις καὶ συνέστη ἐν τῇ Ετ. 449. Ἐφεσίων πόλει τὸ λῃστρικὸν (ὃ δικαίως ἐπεκλήθη) Συνέδριον. Ἔνθα τὰ μὲν ἄλλα, ἅττα τοῦ παλαμναίου Διοσκόρου λῃσταρχοῦντος, καὶ πρὸς τὸ δοκοῦν ἕκαστα αὐτοσχεδιάζοντος, βιαίως τε καὶ τυραννικῶς ἐτολμήθη, ὑπὸ τῶν ἰδίων ὑπασπιστῶν δορυφορουμένου, καὶ γυμνοῖς τοῖς ξίφεσι τοὺς συνθέσθαι μὴ βουλομένους ἐν ἀγράφῳ χάρτῃ ὑπογράψαι καταναγκάζοντος, τί χρὴ καὶ λέγειν; Ἐκεῖνο δὲ ῥᾴδιον συμβαλεῖν, ὅτι πάντα τῷ Αἰγυπτίῳ κατεπράχθη πρὸς τὸ σκοπούμενον. Καὶ γὰρ Φλαβιανὸς μὲν τοῦ Θρόνου ἀποκρουσθεὶς, στρατιωτῶν τε χερσὶ παραδοθεὶς ὠμοτάτων ὑπερόριος ἀπαχθησόμενος, ὑπὸ τῶν πληγῶν καὶ τῆς κακώσεως φθάνει πρὸς τὴν ἄνω Πατρίδα προεξελθὼν ἐπὶ μησὶν ἓξ ἀπὸ τῆς καθαιρέσεως. Δόμνος δὲ, καί τοι ἀγεννῶς λίαν τῷ ὑπενδοῦναι τῇ ἀνάγκῃ, καὶ ὑπογράψαι, τὴν εὐσέβειαν καταπροδοὺς, καὶ τοῖς πεπραγμένοις ἅπασιν ἐπιστέρξας, οὐδ' οὕτως ἔσχε τοῦ μὴ τοῦ θρόνου ἀποπεσεῖν, ἐν δίκῃ τοῦτο τῆς αἰσχρᾶς μικροψυχίας τίσας τὸ πρόστιμον. Καὶ Εὐσέβιος δ' ἐπὶ τούτοις ὁ Δωρυλαίου τῆς Ἐπισκοπῆς ἐξέωσται, καὶ Ἴβας ὁ Ἐδέσσης, καὶ ἄλλοι. Ἀλλὰ καὶ Λέων ὁ Μακαριώτατος Ῥώμης, καίτοι διὰ τριῶν αὐτοῦ τοποτηρητῶν παρουσιάσας τῷ Συνεδρίῳ, καὶ ὑψηλὸν βρυχίσας καὶ διάτορον, οὐδὲν ἴσχυσεν οὔτε τοῖς ἄλλοις, οὔθ' ἑαυτῷ ἐπαμῦναι, ἀπήλαυσε δὲ καὶ αὐτὸς τῆς τοῦ λύκου λύττης τοῦ Διοσκόρου τὸ μέρος, εἰς τρίτην ἀπὸ τῆς Συνόδου καταψηφισθεὶς ἀκοινώνητος. Ὁ δὲ Θεοδώριτος μηδ' ἐφ' αἷς δίκας εἰσεπράττετο αἰτίαις ἀνακριθεὶς, πέντε δὲ καὶ τριάκοντα σταθμοῖς ἀφεστηκὼς, ὑπὸ τῶν ἐν Ἐφέσῳ, μένων ἐν Συρίᾳ ᾗ προσετέτακτο, κατακρίνεται, καὶ πάσης μὲν Ἐκκλησιαστικῆς τάξεως ἀπελαθεὶς, πορρωτάτω δὲ καὶ τῆς τῶν εὐσεβούντων μοίρας καταγνωσθεὶς, ἔτι καὶ ἐξορίαν προσκαταδικάζεται, ἓν τοῦτο τοῦ μὴ παραστῆναι τῇ Συνόδῳ παρακερδάνας, τὸ μὴ τραυματίας κατὰ τὸν Φλαβιανὸν καὶ αὐτὸς ἀπαχθῆναι, μηδὲ τῆς ὑπερορίου ἀλλάξαι

τὸν ἐκ τῶν μωλώπων καὶ τῆς κακώσεως θάνατον. Ἀλλ᾽ ὁ μὲν Διόσκορος,
οἷς πρὸ πολλοῦ ἐπεμαίνετο τυραννικῶς οὕτως ἐπεξελθὼν, οὐκ εἰς μακρὸν
τὰς ἀξιοχρέους τῆς πονηρίας ἔμελλεν ἀπαιτηθήσεσθαι δίκας παρὰ τοῦ μέ-
τρῳ τὰ πάντα καὶ σταθμῷ πρυτανεύοντος. Θεοδωρίτῳ δὲ οὐ πάνυτι οὔτ᾽
ἐπὶ τοῖς γενομένοις θαυμάζειν, οὔτ᾽ ἐπὶ τῇ τοῦ θρόνου ἐκπτώσει σχετ-
Ἐπισ. λιάζειν ἐπῄει καὶ δυσφορεῖν. Τὰ μὲν γὰρ, καὶ πρὶν γενέσθαι, εὐθὺς
Δόμνῳ ἀπὸ τῆς ἀγγελθείσης Συνόδου παρῆν ῥᾳδίως ἀπομαντεύεσθαι, μηδὲν ἐκ
ριβ. τοιούτων ἠπιὸν προοιμίων, οἷον καὶ προσδοκῆσαι χρηστὸν, σαφῶς δὲ καὶ πόῤ-
ῥωθεν προορωμένῳ, ἡλίκος ἔμελλεν ἀπὸ τοῦ συγνοῦ νέφους ἐκείνου ταῖς ἐκ-
κλησίαις ὁ κλύδων ἀποῤῥαγήσεσθαι, εἰ μήτις ἄνωθεν δύναμις αὐτὸ δια-
Μαρίνῳ λύσειε πνεύσασα. Ἐπὶ δὲ τῇ ἀφαιρέσει τοῦ θρόνου, καὶ συνηδομένῳ
Σχο- ἑαυτῷ ἐδόκει, ὡς οὕτω θορύβων ἀπηλλαγμένῳ, καὶ τῆς ἐρασμιωτάτης γαλή-
λασ. ρκδ. νης ἀπολαῦσαι φθάσαντι, καὶ θείαν ἄντικρυς τιθεμένῳ ταύτην εὐεργε-
Σαβι- σίαν, τῶν ἠδικηκότων καὶ βλασφημούντων χωρίσασαν. Ἐκεῖνο μέντοι
νιαν. Ἐπισ. αὐτὸν ἐπιεικῶς ἔδακνε, καὶ καθ᾽ ὑπερβολὴν ἠνία, μήτις τῶν ἀγνοούντων
ρκϛ. ἀληθεῖς εἶναι πιστεύσειε τὰς κατ᾽ αὐτοῦ γεγενημένας διαβολὰς, καὶ ἐπ᾽
αὐτῷ σκανδαλισθείη, ὡς μὴ τὸ δόγμα εὐσεβοφρονοῦντι, ἀλλ᾽ ἕτερα παρὰ
Ἐπισ. τὴν Εὐαγγελικὴν διδασκαλίαν πρεσβεύοντι. Ταύτητοι καὶ Ἀνατολίῳ ἐ-
ριθ. πιστέλλων τῷ Πατρικίῳ, ταύτην δι᾽ αὐτοῦ παρὰ τοῦ καλλινίκου Βασιλέως
ἐξαιτεῖται τὴν χάριν, τὴν Ἑσπέραν αὐτὸν καταλαβεῖν ἐπιτραπῆναι, καὶ
παρὰ τοῖς ἐκεῖσε Θεοφιλεστάτοις καὶ ἁγιωτάτοις Ἐπισκόποις δικάσα-
„ σθαι, παρ᾽ οἷς, καὶ εἰ ὀφθείην (φησὶ) βραχὺ γοῦν τι παρεκβαίνων τοῦ
„ κανόνος τῆς πίστεως, αὐτῷ με παραδοθῆναι τῷ μεσαιτάτῳ τῆς θα-
„ λάσσης βυθῷ. Ἐπεὶ δὲ οὐδὲ ταύτης ἔτυχε τῆς ἀδείας, ἀλλ᾽ ἀπὸ τῆς
ἐγγὺς μὲν τῆς Ἀπαμέων, ἐννεακοσίοις δέπου σταδίοις τῆς Κυρεστῶν πόλεως
ἀπεχούσης, ἐν ᾗ καθεῖρκτο, Μονῆς ἐξελθεῖν αὐτὸν τὰ τῶν βασιλι-
κῶν γραμμάτων ἐπεῖχε δεσμὰ, οὐδένα λοιπὸν ἀπολογίας ἑαυτῷ καὶ ἀθωώ-

στεως τρόπον ἄλλον ἑώρα, ἢ πρὸς τὰς ἐν τῇ Δύσει τῶν Ἐκκλησιῶν προϊσαμένους τὴν περὶ αὐτοῦ δίκην ἐφιέναι, κριτάς τε τούτους τῶν ἰδίων φρονημάτων, καὶ τῆς εὐσεβείας τοὺς αὐτοὺς προασπιστὰς καὶ συνηγόρους προκαλεσάμενον. Τοιγαροῦν Ἀβραάμιόν τε καὶ Ὑπάτιον δύο τῶν περὶ αὐτὸν Χωρεπισκόπων, καὶ σὺν αὐτοῖς Ἀλύπιον ἔξαρχον ὄντα τῶν κατὰ τὴν Εὐφρατησίαν μοναζόντων πέμψας εἰς Ῥώμην, τάτε κατ' αὐτὸν ὡς ἔχει ἄνωθεν διεμήνυε, καὶ τὸ περὶ αὐτὸν ἔσχατον δρᾶμα ἐξετραγῴδει, ὅπερ ἀρτίως κατ' αὐτοῦ πεπαίχει ὁ ἀλάστωρ Διόσκορος· τῷ δὲ τῆς Ῥωμαίων ἐπιστείλας προέδρῳ τῷ Ἁγιωτάτῳ Λέοντι, ἱκέτευεν ἐν τοῖς γράμμασιν, ἐπαμῦναι αὐτὸν ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις χειμαζομέναις, χεῖρα βοηθείας ὀρέξαντα· ἀποδυρόμενος δὲ καὶ ἅττα παρὰ δίκην αὐτὸς πεπόνθοι, ὅσους τε παρὰ πάντα τὸν βίον ὑπὲρ τῆς εὐσεβείας ἀνατλὰς εἴη ἀγῶνας, καὶ πράττων, καὶ λέγων, καὶ μυρία ἐν διαφόροις καιροῖς συγγε- Ἐπιστ.
„ γραφώς, ὡς οὐ τοιαύτης ἀντιδόσεως ἄξια ποτνώμενος, ἐδεῖτο μὴ ἐίγ.
„ παριδεῖν αὐτοῦ τὴν ἀθλίαν πολιὰν μετὰ τοσούτους καμάτους περιϋβρι-
„ σμένην, ἀλλὰ τὸ συκοφαντούμενον καὶ μάτην πολεμούμενον αὐτοῦ γῆρας
„ τῆς ἑαυτοῦ ἀξιῶσαι κηδεμονίας· καὶ ἐπίδηλον μὲν αὐτοῦ καταστῆσαι τὴν διδασκαλίαν τοῖς Ἀποστολικοῖς ἴχνεσιν ἑπομένην, ἵνα μὴ ὡς αἱρετικῆς τινὸς τῷ ὄντι φρενοβλαβείας ἑαλωκὼς (τοῦτο γὰρ αὐτὸν ὡς μάλιστα ἔθραττε) παρὰ τοῖς ἁπλουστέροις, καὶ τὴν τοῦ δόγματος ἀκρίβειαν κατιδεῖν οὐ δυναμένοις παράσχῃ ὑπόνοιαν· πρὸ δὲ πάντων τῆς ἐπιβουλευομένης πίστεως παντὶ σθένει φροντίσαι, καὶ φυλάξαι ταῖς Ἐκκλησίαις τὸν πατρῷον κλῆρον ἀκήρατον. Καὶ ταῦτα μὲν πρὸς Λέοντα· ἐπέθηκε δὲ καὶ Ῥενάτῳ ἐπιστολὴν τῷ Πρεσβυτέρῳ, ἑνὶ γενομένῳ τῶν κατὰ τὸ ἐν Ἐφέσῳ συνέδριον τοῦ Ῥώμης τοποτηρητῶν, συνεργὸν καὶ αὐτὸν γενέσθαι ἐπὶ τῷ συγ-
„ κροτηθῆναι Σύνοδον ὑπὸ τοῦ Πάπα ἀντιβολῶν, καὶ τὰ παρ' ὑμῶν (φά- Ἐπιστ.
„ σκων) κριθησόμενα στέρξομεν, ὁποῖα ἂν ᾖ, τῇ ὑμετέρᾳ δικαιοκρισίᾳ ἐιϛ'.

 θαρ-

θαῤῥοῦντες. Καὶ τῷ Ἀρχιδιακόνῳ δὲ Ῥώμης ἄλλην, ὁμοίως καὶ τοῦτον

Ἐπις. ριη. „ τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου Ἀρχιεπισκόπου τὸν ζῆλον πυρσεῦσαι παρα„ καλῶν, ἐφ᾽ ᾧ τε τῆς ἄνωθεν παραδοθείσης ὑπερμαχῆσαι πίστεως, καὶ τὴν κατ᾽ αὐτοῦ ἀδίκως γεγενημένην σφαγὴν ἐξελέγξαι. Καὶ μὲν δὴ καὶ

Ἐπις. ριζ. ἐπιστολὴν ἄλλην Φλωρεντίῳ μὲν Ἐπισκόπῳ ἐπιγεγραμμένην, ἐπέδωκε, τῷ μέντοι κλήρῳ, ἥτισι δοκεῖ, διαπεμφθεῖσαν, ἢ τοῖς συνελευσομένοις Ἐπισκόποις οἷον ἐγκύκλιον· ἐνδοιάζειν γάρ τινας οὐκ ἀπεικότως ἐνάγει περὶ τὸ τῆς Ἐπιστολῆς ψευδεπίγραφον, τὸ μηδένα κατ᾽ ἐκεῖνο ἱστορῆσθαι Φλωρέντιον παρὰ τὸν ἐν ταῖς Λυδίας Σάρδεσιν, ἕνα καὶ τοῦτον τῶν ὑπὲρ Εὐτυχοῦς κατὰ Φλαβιανοῦ ἀγωνισαμένων γενόμενον. Ἔοικε δὲ καὶ τὸ τῆς ἐπιστολῆς ὕφος τὴν εἰκασίαν ἐπιβεβαιοῦν, ὡς ἄρα πρὸς πλείονας ἀποτει„ νόμενον· διὰ γὰρ τοῦτο, φησί, καὶ τοὺς Θεοφιλεστάτους Πρεσβυτέρους „ Ὑπάτιον καὶ Ἀβράμιον τοὺς χωρεπισκόπους, καὶ Ἀλύπιον τῶν παρ᾽ ἡμῖν „ μοναζόντων τὸν Ἔξαρχον πρὸς τὴν ὑμετέραν ἀπεστείλαμεν ἁγιότητα, „ ἵνα τὴν ἐπισκήψασαν ταῖς τῆς Ἀνατολῆς ἐκκλησίαις διαλύσητε συμ„ φοράν· καὶ πρῶτον μὲν τὴν ἄνωθεν παρὰ τῶν Ἱερῶν Ἀποστόλων κρα„ τύνητε πίστιν, καὶ τὴν ἐπαναστᾶσαν αἵρεσιν στηλιτεύσητε, καὶ τοὺς πα„ ραχαράττειν τολμῶντας τῆς οἰκονομίας τὸ κήρυγμα προφανῶς ἐξε„ λέγξητε. Ἔπειτα δὲ καὶ τῶν ὑπὲρ τῆς εὐσεβείας πολεμουμένων „ ὑπερμαχήσητε —— πρέπει δὲ ὑμῶν τῇ ὁσιότητι μὴ παριδεῖν τοὺς ὁ„ μόφρονας ἀδίκως ἐλαυνομένους, ἀλλὰ παῦσαι τῇ δικαίᾳ βοηθείᾳ τὴν „ ἀδικίαν κτ. Ὁ μὲν οὖν Θεοδώριτος ταῦτα ἐπὶ τὴν Δύσιν ἐπιστρεφόμενος, ὡς οὐδεμίαν ἐξ Ἀνατολῶν αὐτῷ ἐπιλάμψειν δικαιολογίας ἀκτῖνα ἤλπισεν· ὁ δὲ Ῥώμης Λέων τοῖς ὑπὸ Διοσκόρου πεπραγμένοις δυσσεβῶς καὶ ἀθέσμως μηδὲ πρότερον ἐπευδοκεῖν ἔχων, ἄλλωστε καὶ αὐτὸς τῆς ἀδικίαστε καὶ ὕβρεως τὸ μέρος παραπολαύσας καθάπερ εἴρηται, ἤδη δὲ καὶ πλέον ἐκ τῆς ἱκεσίας εἰς ζῆλον πυρποληθεὶς τὸν ἐνδικώτατον, Σύνοδον

περὶ

περὶ αὐτὸν ἐκ τῶν Δυτικῶν συγκροτεῖ Πατέρων· ϗ τὰ μὲν κατὰ τὸ ἐν Ἐφέσῳ συνεςὼς λῃςρικὸν ἐκεῖνο Συνέδριον τετολμημένα, πάντα ἄκυρα εἶναι διαθεσπίζει, τὸν δ᾽ ἐν ἐκείνοις λῃςαρχήσαντα Διόσκορον, καὶ τὰς ἐκείνῳ συνεκβακχεύσαντας, καθαιρέσεως δικαίας ἐπιτιμίοις καθυποβαλὼν, ἀποῤῥήγνυσί τε τῆς τῶν πιςῶν κοινωνίας, ϗ τῶν θρόνων, τόγε ἐπ᾽ αὐτὸν ἧκον, ἐκπτώτας τίθησι· τὰς δ᾽ ὑπ᾽ αὐτῶν προκατακριθέντας, ϗ μυρίοις περιενεχθέντας δεινοῖς, ἀνευθύνας διακηρύττει, ϗ τῆς τῶν Ποιμνίων ὧν ἀπηλάθησαν Φροντίδοςτε ϗ προεδρίας ἀξίας, ὡς τῆς εὐσεβείας διεκδικητὰς, ϗ τῆς πίςεως ὁμολογητὰς, ϗ τῆς Χριςᾶ ἐκκλησίας γνησίας θεράποντας. Ἰδίᾳ δὲ τὸν Κύρα Πρόεδρον Θεοδώριτον, ἀδίκῳ ψήφῳ κατακριθέντα αἰτίας οἱασᾶν ἀπαλλάττει, ϗ εὐθύνης ἀποφαίνει κρείττονα, ϗ ὡς μηδέποτε τῆς Ἀποςολικῆς ἐκπεπτωκότα κοινωνίας τῇ ἐκκλησίᾳ τὸν Ἄνδρα ἀποκαθίςησι, τοῖς τᾶ ὀρθᾶ λόγα ἀκριβέσι ϗ γνησιωτάτοις Προμάχοις τιθέμενος ἐναρίθμιον. Οὐμὴν ἐν τάτοις ἔγνω μένειν ὁ Ῥωμαίων Ἐπίσκοπος· ὡς δ᾽ εὖ ἦν εἰδὼς, ϗ καλῶς ἐπιςάμενος, μὴ τοσαύτην ἄσαν τῆς ἑαυτᾶ καθέδρας, (καί τοι τ᾽ ἄλλα ἐν ταῖς λοιπαῖς πρωτευάσης,) τὴν ἐξασίαν τε καὶ ἰσχὺν, ὡς ϗ μόνῃ τὰ περὶ τοιάτωντε ϗ τηλικάτων ἐπαυθεντεῖν αὐτῇ ἐξεῖναι πραγμάτων, ϗ πέρας τὸ δοκᾶν ἐπιτιθέναι ταῖς ἐκκλησιαςικαῖς διαδικασίαις ϗ ςάσεσι· προσδεῖν δὲ μάλιςα Συνόδα οἰκαμενικῆς πληρεςάτης, ἵν᾽ ὁ πνεύμασιν ἑτεροδιδασκαλίας ϗ πλάνης, ἐκ πολλᾶ διεγερθεὶς ταῖς ἐκκλησίαις κυκεὼν διακριθείη, ϗ ὁ σάλος κοπάσειε, τοιᾶτον δήτινα Σύλλογον ἐκ τῶν ἁπανταχᾶ τῆς οἰκαμένης Πατέρων συναλισθῆναι διὰ σπαδῆς ἐποιεῖτο. Καὶ προσέκειτο μὲν λιπαρῶς διὰ γραμμάτων εἰς τᾶτο τὸν Βασιλέα παρακαλῶν, ϗ ἐν Ἰταλίᾳ μάλιςα τὴν Σύνοδον συγκροτηθῆναι σπαδάζων, ἐνῆγε δὲ εἰς τὴν περὶ τάτα μεσιτείαν ϗ Οὐαλεντινιανὸν, τὸν τὴν Δυτικὴν τῆς Ἀρχῆς κατ᾽ ἐκεῖνο λῆξιν διέποντα, ϗ τὰς Βασιλίδας ἅμα, Πλακιδίαντε τὴν ἐκείνα

 Μητέρα,

Μητέρα, ϗ Εὐδοξίαν τὴν ὁμόζυγα ἱκέτιδας προβαλλόμενος· ὁ μέντοι Θεοδόσιος, οὔτε ταῖς τοῦ Λέοντος ἱκεσίαις ἐνδιδόναι ἠξίου, ϗ ὑπὸ τῆς μεσιτείας τε ϗ προτροπῆς, τῶν ϗ γένει ϗ βασιλείᾳ προσηκόντων οὐδόλως ἐκάμπτετο· ἔμενε δ' ἀκλινὴς εἰς τέλος ἐπὶ τῆς προθέσεως, ϗ ἄτεγκτος, ϗ ἀνένδοτος, ἅτε δὴ προκατειλημμένος ἰσχυρῶς τὴν γνώμην, ϗ καλῶς ἔχειν ϗ ἐνθέσμως τὰ ὑπὸ Διοσκόρου κατὰ Θεοδωρίτου ϗ τῶν ἄλλων διωκημένα κρίνων, μηδὲ ἄλλως, εἴτι ϗ γένοιτο, τὴν Ἐκκλησίαν εἰρηνεύσειν δοκῶν ϗ πειθόμενος.

Ἐν τούτῳ τοίνυν τῶν πραγμάτων ὄντων, ϗ μηδεμιᾶς ποθεν ἐλπίδος ὑποφαινούσης, ὅθεν ἂν ἡ τοῦ δεινῶς ταῖς Ἐκκλησίαις ἐνεπισκήψαντος χειμῶνος σκυθρωπότης ϗ κατήφεια λυθείη, ϗ εἰρήνης ἔαρ ἐπιγελάσειεν, ἧκε τέως ποτὲ εἰς δέον ἄνωθεν ἡ ἐπικουρία, ὁπότε ἥκιστα παρὰ ἀνθρώπων ἥξειν ἠλπίζετο. Θεοδόσιον μὲν γὰρ τὴν ἑπταετηρίδα ἑπταδικῶς περιοδεύσαντα ἐν τούτῳ τῆς βιοτῆς κατείληφε τὸ χρεών. Μαρκιανὸς δὲ θείας νεύματι προνοίας ἐγχειρίζεται τὴν ὑπερτάτην ἀρχὴν, Πουλχερίας τῆς τοῦ τελευτήσαντος Ἀδελφῆς συμπραξαμένης αὐτῷ τὸ κράτος, ϗ ὡς ἐπὶ φερνῇ τῇ Βασιλείᾳ, καὶ ἑαυτὴν ἐπιδούσης παρθενικῷ γάμῳ ϗ σώφρονι. Ἅμα δὲ τῷ πολιτεύματι, ϗ τὰ τῆς Ἐκκλησίας πράγματα ὄψιν προσήμειβε, τῆς ἐπὶ τὰ κρείττω μεταβολῆς ἀπολαύοντα. Καὶ ἔδει γὰρ ἄρα τὴν μὲν ἀσέβειαν ποτὲ λαμπρῶς ἀποκηρυχθῆναι κρατυνθείσης τῆς ὀρθοδοξίας, τὸν δὲ Θεοδώριτον αἰτίας ἁπάσης ἀπαλλαχθέντα τῶν δικαίων τυχεῖν, Διοσκόρου τε ϗ τῶν ἐκείνῳ συνεκμεμηνότων, τῆς τε εἰς Θεὸν βλασφημίας, ϗ τῆς κατὰ τοσούτων Πατέρων ὠμότητος καὶ ἀπηνείας κομισαμένων τἀπίχειρα. Ἀμέλει τοι Μαρκιανοῦ ἤδη ϗ Πουλχερίας οὕτως ἐπὶ τὴν τῶν ὅλων ἀρχὴν παρελθόντων, αὐτίκα τὸ περὶ τῆς ἀπολύσεως Θεοδωρίτου ἐγράφετο δόγμα, ϗ τῆς εἱρκτῆς ὁ Κύρου ἀφίετο· ὡς δ' οὖν ἐλευθερίας ἔτυχεν οὗτος, γράμμασιν

εὐθὺς

εὐθὺς ἐντυγχάνει Ἀνατολίῳ τῷ Πατρικίῳ, καὶ Ἄσπαρι, ἢ (ὡς ἄλλοι τὴν ἐπιγραφὴν τῆς Ἐπιστολῆς ἐπιδιορθούμενοι) Ἀβινῷ τῷ τηνικαῦτα ὑπατεύοντι, καὶ Βιγκομάλῳ τῷ Μαγίστρῳ· Ἀνδράσι τῶν ὡς πλεῖστα τότε δυναμένων προέχουσι, καὶ μεγίστην ἐν τοῖς βασιλείοις ἰσχὺν περιβεβλημένοις· δι᾽ ὧν δὴ γραμμάτων χάριτάς τε τὰς ὀφειλομένας τούτοις ὁμολογεῖ, καὶ δι᾽ αὐτῶν τοῖς Αὐγούστοις, ἀνθ᾽ ὧν οἱ μὲν ἀδικουμένῳ συνηγορήσαιτε καὶ ἐπικουρῆσαι ἠξίωσαν, οἱ δὲ ἐπένευσάντε φιλανθρώπως καὶ τῆς ἀδίκου εἱρκτῆς αὐτίκα ἀπέλυσαν. Ἐπὶ δὲ τῇ γειομένῃ χάριτι, καὶ ἄλλην μείζονα εὐποιΐαν, ἣ οὐδέντι μᾶλλον αὐτῷ ἢ τοῖς ὅλοις πράγμασι τῆς Ἐκκλησίας συνοίσειν ἔμελλε προσεξαιτούμενος καθικέτευεν, ἵνα τῇ αὐτῶν προτροπῇτε καὶ μεσιτεύσει ἔτι καὶ Σύνοδον ἐκ τῶν ἁπανταχοῦ Πατέρων οἱ φιλόχριστοι Βασιλεῖς ἀθροισθῆναι κελεύσειαν, ὑφ᾽ ἧς τὸ μὲν ὀρθὸν καὶ γνήσιον τοῦ δόγματος ἐπικυρωθείη, πρυτανευθείη δὲ καὶ ταῖς Χριστοῦ Ἐκκλησίαις, ἀσφαλὴς ἡ εἰρήνη, καὶ ἀδήριτος ἡ ὁμόνοια. Περὶ οὗ τινες καὶ αὐτὸν ἀμέσως φασὶν ἱκετηρίαν τοῖς Βασιλεῦσι προσαγηγόντα αἰτήσασθαι τὴν τῆς Συνόδου συγκρότησιν, καλῶς τοῦτο ἐκ τῶν ἐν τῇ πρώτῃ τῶν συνοδικῶν πράξεων, εἰρημένων τῷ Θεοδωρίτῳ συμβάλλοντες. Θεοδώριτος μὲν οὖν οὐδὲ τῆσδε διήμαρτε τῆς αἰτήσεως· ἦν γὰρ ἄρα ἐπὶ δρόμον ἐποτρύνωντε καὶ παρορμῶν, τὸ τοῦ λόγου, τοὺς ἐκθύμως θέοντας. Αἱ γὰρ Βασίλειοι ψυχαὶ οἷον ἀκροθίνια καὶ ἀπαρχὰς τῆς ἄνωθεν αὐτοῖς ἐπιβραβευθείσης Ἀρχῆς τὴν τῶν Ἐκκλησιῶν γαλήνην τῷ Θεῷ προσενεγκεῖν σπουδάζουσαι, καὶ ἐπὶ τούτοις τὸν θρόνον θεμελίοις ἑδράσαι, ἀναβολῆς ἄνευ τὴν Σύνοδον συγκροτηθῆναι ἐθέσπιζον· ἣν τὸ μὲν πρῶτον κατὰ τὴν ἐν Βιθυνίᾳ Νίκαιαν ἀθροισθῆναι ἐπιτάξαντες, εἰς τὴν ἐπὶ τῆς περαίας ἄντικρυ τῆς Κωνσταντίνου ὕστερον Χαλκηδόνα μετέστησαν ἱδρυμένην, μᾶλλον ἐνταυθοῖ ἐπίκαιρον τὴν χώραν ἡγούμενοι· οὐ γὰρ ἐπινεῦσαι ὁ Βασιλεὺς τὴν ἐν Ἰταλίᾳ τῆς Συνόδου ἄθροισιν τῷ Ῥώμης ἠξίωσε· καίτοι καὶ γράμ-

Ἐπιστ. ἐλη. ἐλθ. ἐμ.

μασιν

Franckesche Stiftungen zu Halle

μασιν αὐτῷ λιπαρῶς αἰτησαμένῳ, καὶ διὰ τῶν ἀποσταλέντων ὑπ᾽ αὐτοῦ θερμῶς ἱκετεύσαντι. Καὶ ἀνεώχθη τοίνυν ἐν Χαλκηδόνι τοῖς ἁπανταχόθεν συνειλεγμένοις Ἐπισκόποις τῆς πανευφήμου μάρτυρος Εὐφημίας τὸ ἱερὸν τέμενος, ἐν ᾧ ὡς ἐν παγκοσμίῳ Θεάτρῳ οἱ τῆς πίστεως ἀγωνισταὶ τὸ κατὰ τῆς θεομάχου αἱρέσεως ἔμελλον ἐγερεῖν τρόπαιον, καὶ τῶν ἔσγ᾽ ἐπ᾽ ἐκεῖνο τῆς τε εὐσεβείας καὶ τῶν προμάχων αὐτῆς ἀναιδῶς κατορχησαμένων, τὴν ἀπόνοιαν καταθριαμβεύσειν. Καὶ ὁ μὲν τῶν συνεληλυθότων Πατέρων ἀριθμὸς, ὅσος οὔπω πρότερον, οὐδέποθ᾽ ὕστερον ἐπ᾽ οὐδενὸς ἑτέρου Συλλόγου, εἰς ἑξακοσίους καὶ τριάκοντα ἐπληθύνετο. Παρῆν δὲ καὶ τῶν ἀπὸ τῆς Συγκλήτου βουλῆς τὰ κράτιστα, καὶ τῶν ἐκ τοῦ Βασιλείου οἴκου οἱ λογάδες σὺν τούτοις, αὐτῶντε τῶν διαπραχθησομένων ἀκριβεῖς ὀπτῆρες, καὶ πιστοὶ φραστῆρες τῷ Βασιλεῖ ἐσόμενοι, καὶ τῆς προσηκούσης τῇ Συνόδῳ ἐπιμελησόμενοι εὐσχημοσύνης καὶ εὐταξίας. Ἔνθα τὰ μὲν ἄλλα, ἅ περίτε τὸν κατὰ τῆς Ἐκκλησίας προλελυττηκότα Διόσκορον, καὶ τοὺς ἐκείνῳ γενομένους συσπουδαστὰς καὶ ὁμόφρονας, ὡς δίκας ἔτισαν τὰς σφίσι πρεπούσας, περίτε τοὺς ἐκείνων τῆς λύττης πεπειραμένους, οἵας ἔτυχον καὶ οἱ περιόντες ἤδη, καὶ οἱ ἐν τοῖς δεινοῖς τελευτῆσαι φθάσαντες, ἀπολογίας καὶ δικαιώσεως, οὐ τῆς παρούσης ἔμοιγε προθέσεως ἐπὶ λεπτοῦ διελθεῖν· ἃ δὲ περὶ Θεοδωρίτου ἔδοξε τῇ Συνόδῳ ψηφίσασθαι, καὶ δὴ τῷ λόγῳ παραδώσω, ἐξ αὐτῶν τῶν τῆς Συνόδου Πρακτικῶν αὐτὰ παραθέμενος. Ἐν δυσὶ μὲν γὰρ συνελεύσεσιν ἰδιαίτερον τὰ κατ᾽ αὐτὸν διεπράχθη, κατάτε δηλαδὴ τὴν πρώτην τῶν Συνοδικῶν Πράξεων, καὶ ἐν τῇ ὀγδόῃ· Καὶ ἐν μὲν τῇ πρώτῃ κατ᾽ ἀρχὰς εὐθὺς περὶ τῆς ἐν τῷ Συλλόγῳ εἰσδοχῆς τοῦ Ἀνδρὸς καὶ παρουσίας πολύθρουστις καὶ θορυβώδης ἐνέπεσε λόγος. Τῶν γὰρ Ἀρχόντων, καὶ τῶν ἀπὸ τῆς Συγκλήτου βουλῆς παρεδρευόντων, εἰσιέναι καὶ τὸν Θεοδώριτον, καὶ κοινωνῆσαι τῇ Συνόδῳ ἀξιούντων, ὡς ἀποκαταστάντα ἤδη ἐπὶ τὴν Ἐπισκοπὴν ὑπὸ τοῦ Ῥωμαίων Προέδρου, καὶ τοῦ θειοτάτου μά-

Franckesche Stiftungen zu Halle

μάλιστα βασιλέως παρεῖναι τοῦτον θεσπίσαντος, ὡς εἰσῆλθεν ὁ Κύρου,
δεινή τις ἔρις καὶ στάσις κεκίνηται μεταξὺ τῶν Πατέρων, καὶ θροῦς ἤρθη
συμμιγής τε καὶ ἄπλετος, οἱονεὶ πελάγους δυοῖν ἀνέμων ταῖς ἀντιπνοίαις
ἐκ βάθους ταρασσομένου, καὶ ταῖς τῶν κυμάτων πρὸς ἄλληλα ἀντεμβο-
λαῖς ἄγριόν τι καὶ φοβερὸν ἐπαιγίζοντος, κατὰ δισσὰς μοίρας τῶν συνελη-
λυθότων ἀποκεκριμένων ταῖς γνώμαις, καὶ τἀναντιώτατα ἀλλήλοις περὶ
αὐτοῦ φρονούντων, καὶ βοώντων καὶ ἀντεκβοώντων. Ἤρξατο δὲ ἀπὸ τῶν κα-
τὰ Θεοδωρίτου πνευμάτων τὰ τῆς στάσεως· τούτου γὰρ ὀφθέντος, οἱ ἐξ
Αἰγύπτου, καὶ οἱ Παλαιστινοί, καὶ σὺν αὐτοῖς οἱ Ἰλλυρικοὶ πάνυ θερμῶς
αὐτίκα διαναστάντες „ Ἐλεήσατε, (ἐξεβόησαν) ἡ πίστις ἀπόλλυται· οἱ
„ κανόνες τοῦτον ἐκβάλλουσι· τοῦτον ἔξω βάλε· τὸν θεομάχον ἔξω βάλε·
„ τὸν Ἰουδαῖον ἔξω βάλε· τὸν ὑβρίσαντα τὸν Χριστὸν ἔξω βάλε· Κύ-
„ ριλλον οὗτος ἀνεθεμάτισε· φωνὴν οὐκ ἔχει· ἐπὶ πάσης τῆς Συνόδου κα-
„ θήρηται. (τῆς λῃστρικῆς ἐκείνης μοι νόει.) Κύριλλον ἐκβάλλομεν ἐὰν Θεο-
„ δώριτον λάβωμεν. (Ἀμέλειτοι Διόσκορος ὁ τούτων πρωταγωνιστής,
ταύτην πρῶτος ἔψηλε κατ᾽ αὐτοῦ τὴν χορδὴν ὑποκρέξας. Κύριλλος
γὰρ (εἶπε) διατὶ ἐκβάλλεται ὁ παρὰ τούτου ἀναθεματισθείς;) οἱ κανό-
νες τοῦτον ἐξέβαλον· τοῦτον ὁ Θεὸς ἀπεστράφη. Ἀλλ᾽ οἱ μὲν περὶ τὸν
Διόσκορον ταῦτα· οἱ δὲ λοιποὶ πάντες οἵτε Ἀνατολικοί, καὶ οἱ Ποντικοί,
καὶ οἱ Ἀσιανοί, καὶ οἱ ἀπὸ Θρᾴκης Ἐπίσκοποι ἐξ ἐναντίου φερόμενοι, εἰς
„ ἄγραφα (ἀντεβόων οὗτοι) ὑπεγράψαμεν· ἐτυπτήθημεν καὶ ὑπεγρά-
„ ψαμεν· (τὰ ἐν τῇ λῃστρικῇ ἐκείνῃ δηλονότι γεγονότα Συνόδῳ σημαίνοντες,
καὶ τὴν ἐκ τῆς βίας ἔνδοσιν παραιτούμενοι) εἶτα πρὸς τοὺς τολμητίας
„ ἐκείνους ἀποτεινόμενοι, τοὺς Μανιχαίους ἔξω βάλε· τοὺς ἐχθροὺς Φλα-
„ βιανοῦ ἔξω βάλε· τοὺς ἐχθροὺς τῆς πίστεως ἔξω βάλε· Διόσκορον τὸν
„ φονέα ἔξω βάλε· Διοσκόρου τὰς πράξεις τίς οὐκ οἶδε; τοὺς φονέας
„ ἔξω βάλε· τοὺς ἀνασείσας ἔξω βάλε. Τούτων οὖν ἑκατέρωθεν τῶν ἀ-



Franckesche Stiftungen zu Halle

ναβοήσεων ὅτως ἐπὶ πολὺ γενομένων, μόλις ποτὲ οἱ ὡς ἐκ τȣ̃ Βασιλέως παρεδρεύοντες Ἄρχοντες ϗ Συγκλητικοὶ, κατασιγάσαι τὸν θόρυβον ἠδυνήθησαν, ἄλλατε πολλὰ ἐπειπόντες, ϗ ὅτι ἀπρεπὲς ἂν εἴη Ἐπισκόπȣς ὄντας τὰς δημοτικὰς ταύτας ϗ ὀχλώδεις ἀφιέναι ἐκβοήσειςτε ϗ φωνὰς, ὑφ' ὧν μηδὲν τῶν μερῶν μηδετέρῳ τὸ ὄφελος· Θεοδώριτον μὲν γὰρ ϗ ὑπὸ τȣ̃ τῆς μεγαλωνύμȣ Ῥώμης Προέδρȣ τῆς κοινωνίας τυχόντα, καὶ ὑπὸ τȣ̃ τῆς μεγαλοπόλεως Ἀντιοχείας ὀρθόδοξον μαρτυρȣ́μενον, ϗ αὐτὸς ὁ Βασιλεὺς θείῳ αὐτȣ̃ θεσπίσματι παρεῖναι τῇ Συνόδῳ κελεύσειε· παρόντος δὲ, ȣ̓δὲν ἂν γένοιτο ἐντεῦθεν πρόκριμα, φυλαττομένȣ δηλονότι ϗ αὐτῷ, ϗ παντὶ ἑτέρῳ ἐπ' ἀδείας προβαλέσθαι, εἴτινα ἀμοιβαίως ὕςερον γυμνάζειν βȣ́λοιντο. Τοῦτο γὰρ ϗ αὐτὸς ἐν τῷ μέσῳ ᾐτήσατο παρελθὼν „ δεήσεις ἐπιδέδωκα τοῖς θειοτάτοις, ϗ εὐσεβεςάτοις, ϗ φιλο„ χρίςοις Δεσπόταις τῆς οἰκȣμένης, ϗ διηγησάμην τὰς εἰς ἐμὲ γενομένας „ σφαγὰς, ϗ ἀξιῶ ταύτας ἐξετασθῆναι. Μετὰ γȣ̃ν τὸ καθεσθῆναι ἐν τῷ μέσῳ Θεοδώριτον, οἱ Ἀνατολικοὶ ϗ οἱ σὺν αὐτοῖς εὐλαβέςατοι Ἐπίσκοποι ἐξεβόησαν, ἄξιος· ἄξιος· τὸν ὀρθόδοξον τῇ Συνόδῳ. Καὶ ταῦτα μὲν ὅτως. Ἐπεὶ δὲ τῶν ἐπὶ τῆς λῃςρικῆς Συνόδȣ προγενομένων τῆς δεȣ́σης ἀνακρίσεώςτε ϗ κρίσεως τετευχότων, ὅ,τε δυσσεβὴς Διόσκορος ἃς ὤφειλε δίκας ἀπέτισε, ϗ ὅσα ἄλλα πρȣ̈́κειτο πραγματευθῆναι ἐν ταῖς ἑπτὰ ἐφεξῆς Πράξεσι, διαίτης ἔλαχε τῆς προσηκȣ́σης, λοιπὸν ἦν ϗ τὰ περὶ τȣ̃ Θεοδωρίτȣ ἐξετασθῆναι ὡς εἰκὸς ϗ διαιτηθῆναι. Ἀλλ' ἐγὼ ϗ ταῦτα ἐκ τῆς ὀγδόης Συνοδικῆς Πράξεως, ὡς ἂν ἔχῃ μᾶλλον τὸ ἀξιόπιςον, ἐπὶ λέξεως παραθήσω.

Τῆς ἐν Χαλκ. οἰκȣμ. Συνόδ. Πράξ. η'. „ Καθεσθέντων πάντων πρὸ τῶν Καγγέλων τȣ̃ ἁγιωτάτȣ θυσι„ αςηρίȣ, οἱ εὐλαβέςατοι Ἐπίσκοποι ἐβόησαν· Θεοδώριτος ἄρτι ἀνα„ θεματίσει. Θεοδώριτος ὁ εὐλαβέςατος Ἐπίσκοπος παρελθὼν ἐν τῷ „ μέσῳ εἶπε· καὶ δεήσεις ἐπιδέδωκα τῷ θειοτάτῳ ϗ εὐσεβεςάτῳ Βασι-

„ λεῖ, καὶ Λιβέλλους ἐπιδέδωκα τοῖς εὐλαβεστάτοις Ἐπισκόποις, τοῖς διέ-
„ ποντι τὸν τόπον τοῦ εὐλαβεστάτου Ἀρχιεπισκόπου Λέοντος, καὶ εἰ δοκεῖ
„ ὑμῖν ἀναγινώσκονται ἐφ' ὑμῶν, καὶ μανθάνετε ὅπως φρονῶ. οἱ εὐλαβέ-
„ στατοι Ἐπίσκοποι ἐβόησαν· ἀναγνωσθῆναι οὐδὲν θέλομεν· Νεστόριον ἄρτι
„ ἀναθεμάτισον. Θεοδώριτος ὁ εὐλ. Ἐπίσκ. εἶπεν, ἐγὼ διὰ τὴν τοῦ
„ Θεοῦ χάριν, καὶ παρ' ὀρθοδόξοις ἐτράφην, καὶ ὀρθοδόξως ἐδιδάχθην, καὶ
„ ὀρθοδόξως ἐκήρυξα· καὶ οὐ μόνον Νεστόριον καὶ Εὐτυχῆ, ἀλλὰ καὶ πάντα
„ ἄνθρωπον μὴ φρονοῦντα ὀρθῶς ἀποστρέφομαι, καὶ ἀλλότριον ἡγοῦμαι· καὶ
„ ἐν τῷ λέγειν αὐτὸν, οἱ εὐλαβέστατοι Ἐπίσκοποι ἐβόησαν· φανερῶς
„ εἰπὲ· ἀνάθεμα Νεστορίῳ, καὶ τοῖς δόγμασιν αὐτοῦ· ἀνάθεμα Νεστορίῳ
„ καὶ τοῖς φιλοῦσιν αὐτόν. Θεοδώρ. ὁ εὐλ. Ἐπίσκ. εἶπεν· Ἐπ' ἀληθείας
„ οὐ λέγω, εἰ μὴ ὡς οἶδα ἀρέσκειν τῷ Θεῷ, πρῶτον πείσω ὑμᾶς, ὅτι οὔτε
„ πόλεως φροντίζω, οὔτε τιμῆς χρῄζω, οὔτε διὰ τοῦτο παρεγενόμην· ἀλλ'
„ ἐπειδὴ ἐσυκοφαντήθην ἦλθον πληροφορῆσαι ὅτι ὀρθόδοξος εἰμὶ, καὶ
„ ὅτι Νεστόριον καὶ Εὐτυχῆ, καὶ πάντα ἄνθρωπον δύο Υἱοὺς λέγοντα ἀνα-
„ θεματίζω. Καὶ ἐν τῷ λέγειν αὐτὸν, οἱ εὐλαβέστατοι Ἐπίσκοποι
„ ἐβόησαν· εἰπὲ φανερῶς ἀνάθεμα Νεστορίῳ, καὶ τοῖς φρονοῦσι τὰ αὐτοῦ.
„ Θεοδώρ. ὁ εὐλ. Ἐπίσκ. εἶπεν· ἐγὼ ἐὰν μὴ ἔκθωμαι ὅπως πιστεύω, οὐ
„ λέγω. Πιστεύω δὲ . . . Καὶ ἐν τῷ λέγειν αὐτὸν, οἱ εὐλαβέστατοι Ἐπί-
„ σκοποι ἐβόησαν· οὗτος αἱρετικός ἐστιν· οὗτος Νεστοριανός ἐστι· τὸν αἱρε-
„ τικὸν ἔξω βάλε. Θεοδώρ. ὁ εὐλαβ. Ἐπίσκ. εἶπεν· ἀνάθεμα Νεστορίῳ,
„ καὶ τῷ μὴ λέγοντι τὴν ἁγίαν Παρθένον Μαρίαν Θεοτόκον, καὶ τῷ εἰς
„ δύο Υἱοὺς μερίζοντι τὸν ἕνα Υἱὸν τὸν μονογενῆ. Ἐγὼ δὲ καὶ τῷ ὅρῳ τῆς
„ πίστεως ὑπέγραψα, καὶ τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου Ἀρχιεπισκόπου Λέον-
„ τος· καὶ οὕτω φρονῶ· καὶ μετὰ ταῦτα πάντα σώζεσθε. Οἱ εὐλαβέστατοι
„ Ἄρχοντες εἶπον· ἡ πᾶσα λοιπὸν περὶ Θεοδωρίτου τοῦ Θεοφιλεστάτου
„ ἀμφιβολία λέλυται· καὶ γὰρ Νεστόριον ἐπὶ ἡμῶν ἀνεθεμάτισε, καὶ παρα-

„ τοῦ Θεοφιλεστάτου καὶ ἁγιωτάτου Ἀρχιεπισκόπου Λέοντος τῆς πρεσβυ-
„ τέρας Ῥώμης προσεδέχθη, καὶ τὸν ὅρον τῆς Πίστεως τὸν παρὰ τῆς
„ ὑμετέρας Θεοσεβείας δοθέντα, ἐδέξατο ἀσμένως. Καὶ τοῦτο ἔτι μὴν
„ καὶ τῇ ἐπιστολῇ τοῦ μνημονευθέντος ὁσιωτάτου Ἀρχιεπισκόπου Λέοντος
„ καθυπέγραψε. Λείπεται τοίνυν ψῆφον ἐξενεχθῆναι παρὰ τῆς Θεο-
„ φιλίας τῆς ὑμετέρας (οὐ γὰρ δηλονότι ἡ προενεχθεῖσα ψῆφος ἀπο-
„ χρῶσα ἦν ἡ τοῦ Ῥώμης·) ὥστε καὶ τὴν Ἐκκλησίαν αὐτὸν ἀπολαβεῖν, κα-
„ θὼς καὶ ὁ ὁσιώτατος Ἀρχιεπίσκοπος Λέων ἐδικαίωσεν. Πάντες οἱ
„ εὐλαβέστατοι Ἐπίσκοποι ἐβόησαν· Θεοδώριτος ἄξιος τοῦ θρόνου· τῇ
„ Ἐκκλησίᾳ τὸν ὀρθόδοξον· ἡ Ἐκκλησία τὸν Ποιμένα ἀπολάβῃ· τὸν ὀρ-
„ θόδοξον διδάσκαλον ἡ Ἐκκλησία ἀπολάβῃ· τοῦ θρόνου Θεοδώριτος
„ ἄξιος. Τοῦ Ἀρχιεπισκόπου Λέοντος πολλὰ τὰ ἔτη· μετὰ τοῦ Θεοῦ
„ Λέων ἐδίκασεν· ὁ λαὸς τὸν ὀρθόδοξον ἀπολάβῃ· Ἄξιε τοῦ Θρόνου Θεο-
„ δωρίτῳ τῷ Ἐπισκόπῳ ἡ Ἐκκλησία ἀποδοθῇ. Ταῦτ' οὖν κοινῇ τε πάν-
τες ἐπιφημίσαντες οἱ τῆς Συνόδου Πατέρες, καὶ ἰδίᾳ ἐφεξῆς ἕκαστοι
ὡς βαθμοῦ τε εἶχον καὶ τάξεως ἐπιψηφισάμενοι, τῇ Ἐκκλησίᾳ καὶ τῷ
ποιμνίῳ τὸν Ἄνδρα ἀπέδωκαν.

Ὁ δὲ, τῆς Συνόδου ἤδη λυθείσης, ἐπὶ τὴν φίλην αὐτίκα ἡσυχίαν ὁρᾷ, ἕρμαιον δὲ οἷον ποιεῖται ἣν πάλαι δι' ἐφέσεως ὠδίνων ἐτύγχανε πρόθεσιν. Ἡ δὲ πρόθεσις, τῆς πολυπράγμονος καὶ πολυαχόλου ποτὲ παῦλαν εὑρεῖν συμπεριφορᾶς, καὶ τὸ ἀχθηρὸν καὶ ἐπίπονον τοῦ θρόνου ἀποσεισάμενον ἀναπνεῦσαι, καὶ ὡς ἐκ πελάγους τραχὺ καταιγιζομένου καὶ ἄγριον, πρὸς ὅρμον τινὰ γαλήνιον ἀποσωθέντα, αὐτοῦ στῆναι, Θεῷ τοῦ λοιποῦ καὶ ἑαυτῷ προσανέχοντα· ὃ τηνικαῦτα καὶ μόνον θέμις ἂν αὐτῷ ἔσεσθαι ὀρθῶς ἡγεῖτο, ἐπειδὰν ἐκ τοῦ ἰδιοπραγῆσαι μηδεμίαν οὔθ' ἑαυτῷ, οὔτε τοῖς ἄλλοις, οὐδὲ μὲν οὖν τοῖς ἐκκλησιαστικοῖς τῶν πραγμάτων, τὴν ζημίαν συνίδοι ἐπισυρόμενος. Τοιγάρτοι ἐκ πολλοῦ καίπερ τηλικούτοις τοῖς δει-



Franckesche Stiftungen zu Halle

νοῖς προσπαλαίων, καὶ τοσούτοις καὶ οὕτω χαλεποῖστε καὶ δυσχερέσιν ἐξεταζόμενος πράγμασιν, ἐμμένειν ὅμως καὶ ἐγκαρτερεῖν ᾑρεῖτο τῇ προεδρείᾳ· οὐκοῦν μὲν σωματικῆς ἕνεκεν ἀπολαύσεως καὶ θεραπείας οὕτως ἐπὶ πολὺ διαθλῶν, οὐδὲ τῆς πολυφρόντιδος τιμῆς, καὶ τοῦ δυστήνου δοξαρίου κατὰ τοὺς πολλοὺς ἥττων γενόμενος, ἀλλὰ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν οἰκοδομεῖν τὸ καθ' ἑαυτὸν σπουδάζων, καὶ τὰ ἀρέσκοντα τῷ ταύτης νυμφίῳτε καὶ Δεσπότῃ πληροῦν, κἂν κινδυνεύειν δέοι, κἂν ὁτιοῦν πάσχειν, αἱρούμενος, ὡς πρὸ ὀφθαλμῶν ἀεὶ τὰς τοῦ λειποταξίου εὐθύνας ἔχων, ἃς ὑπὸ τοῦ τὴν ἐπιστασίαν αὐτῷ ἐγκεχειρηκότος ἀπαιτηθήσεσθαι ἔμελλε. Πάλαι γὰρ Ἐπιστ. ιϛ'. „ἂν (φησὶν) αὐτόματος ἀπέστην, εἰ μὴ τὸ θεῖον ἐδεδίειν κριτήριον. Διὰ Εἰρην. Ἐπισκ. δὴ τοῦτο, καὶ ὅτε κατ' αὐτοῦ, ὥστε τοῦ θρόνου ἀποκρούσασθαι, μηχανὰς ἐκίνει παντοίας ὁ παλαμναῖος Διόσκορος, καὶ οἱ τούτῳ συνεκβακχεύσαντες, πρᾴωστε καὶ μεγαλοψύχως ἣν ἀπεκδεχόμενος τὴν ἀνάγκην, ἣν πελάζουσαν συνεώρα, ἐκ τῶν τυρευομένων σαφῶς τεκμαιρόμενος. Ἐπιοῦσαν δὲ καὶ μάλα ἀσμένως τὴν βίαν προσίετο· καὶ οὐδὲ τὴν ἐν τῇ Ἀπαμέων εἱρκτὴν, οὐδὲ τότε δεινὰ πάνυ ἐτίθετο, εἰ μὴ παρ' ὅσον τὴν ἐπὶ κακοδοξίᾳ διαβολὴν εἰκὸς ἦν ὑφορᾶσθαι, καὶ τὸν ἐντεῦθεν κίνδυνον τοῦ τοῖς ἁπλουστέροις, ὡς εἴρηται, εἰς πρόσκομμα ἔσεσθαι. Τ' ἄλλα δὲ καὶ λίαν ἀπὸ καθαρᾶς ψυχῆς καὶ γνώμης ἐπὶ τῇ καθείρξει τὸν Δεσπότην καὶ τότε ἀνύμνει, ὡς τῶν ἠδικηκότων καὶ βλασφημούντων χωρίσαντα, καὶ τὴν ἐρασμιωτάτην ἡσυχίαν αὐτῷ χαρισάμενον· ὅτε δὴ καὶ Σαβινιανῷ τῷ Περραίας ἐπιστέλλων Ἐπισκόπῳ, τὰ μὲν ἐπαινῶν ἦν τὴν ἀρχὴν εὐθύμως Ἐπιστ. ρκϛ'. τὸν ἐπίφθονον καταλιποῦσαν θρόνον τὴν αὐτοῦ ὁσιότητα, τὰ δὲ θαυμάζων ὕστερον τῷ καιρῷ ὑπενδόντος, καὶ ἀναδραμόντος πάλιν πρὸς τοὺς αὐτὸν ἐξελάσαντας. Ἀλλ' οὕτω μὲν δὴ καὶ πρόσθεν ἔχων ἐτύγχανε παρασκευῆς τε καὶ προαιρέσεως· ἤδη δὲ τῆς εὐκαιρίας δραξάμενος, καὶ τὴν μὲν ἐκ τῆς δυσκλείας ἀχλὺν ἑαυτοῦ τέλεον φθάσας ἀποσκεδάσαι, τὴν δὲ τῆς ἰδίας

πίστεως ὀρθότητα, ἐπὶ προσώπου πάσης τῆς Ἐκκλησίας φανερὰν καταστήσασθαι, ἀπρὶξ εἴχετο τῆς προθέσεως. Καὶ τὸν μὲν οὖν θρόνον οὗ Συνοδικῶς ἀναῤῥηθεὶς κεκήρυκτο ἄξιος, ἑκὼν παρῃτεῖτο· Ὑπάτιον δὲ ἐκεῖνον, τῶν εἰρημένων Χωρεπισκόπων τὸν ἕτερον, Ἄνδρα Ἱερατικοῖς ἐνδιαπρέποντα τοῖς χαρίσμασι, καὶ πρὸς ἐπισκοπὴν καὶ ἐπιμέλειαν ψυχῶν δοκιμώτατον, ἐπὶ τὴν μέριμναν τοῦ Ποιμνίου ἀνθ' ἑαυτοῦ παραστησάμενος ἐδωρεῖτο τῷ θρόνῳ· αὐτὸς δὲ ὑπεχώρει· καὶ ἐν τῇ Μονῇ ἑαυτὸν τῇ φιλτάτῃ ἐγκατακλείσας, τὸ λοιπὸν ἐνθένδε τοῦ βίου, φιλοσοφίας τῆς ὄντως, καὶ Θεῷ συναπτούσης ἐποιεῖτο γυμνάσιον· τῇ μὲν, τὸν πρακτικὸν ἄνθρωπον, ἀρετῶν συντόνοις ἀσκήσεσι ῥυθμίζων, καὶ προθυμίαις ἐκτενεστέραις εἰς τὸ ἀκριβέστερον ἀποξέων, τῇ δὲ, καὶ τὸν θεωρητικὸν ἐν μέρει καταρτίζων, καὶ ταῖς τῶν ἱερῶν βιβλίων ἐνδελεχέσι μελέταις καὶ συγγραφαῖς ἐπὶ τὸ τελεώτερον προσβιβάζων· ἦν γὰρ οὐδ' ἐνταῦθα τῆς περὶ τοὺς λόγους, συνήθουστε καὶ παρὰ πάντα τὸν βίον συντρόφου σπουδῆς καὶ φιλοπονίας ἀπολειπόμενος. Θᾶττον γὰρ ἂν τὸ σῶμα σιτίων ἄνευ αὐτῷ διαζήσειεν, ἢ βιβλίων δίχα ἡ ψυχὴ, καὶ τῆς περὶ αὐτὰ ἐργασίας. Πράξει τοίνυν καὶ θεωρίᾳ, οὕτως ἑαυτῷ τὸν χρόνον διαμερίσας, δι' ἐκείνης μὲν τὸν Μοναστὴν ἀνεδείκνυ τὸν γενναιότατον, μηδέντι τῶν ταύτην μόνην τὴν ἰδέαν μετιόντων ταῖς γυμνασίαις καθυστερῶν· διὰ δὲ ταύτης, οὐδὲ τὴν ἐκκλησίαν καθάπαξ τὸν Διδάσκαλον παρῃρεῖτο· διετέλει δὲ πολλὰ καὶ ἄλλα, ἐπὶ τοῖς αὐτῷ προγεγραμμένοις συγγράμματα προσφιλοπονῶν, καὶ τοὺς ἐραστὰς τῶν λόγων καὶ τῆς εὐσεβείας ἄχρι τέλους καταπλουτίζων. Τῆς οὖν κατὰ ταύτην αὐτοῦ τὴν σχολὴν διατριβῆς, καρποὶ προέκυψαν ἡμῖν καλοὶ καὶ ὡραῖοι πρὸς τοῖς ἄλλοις, καὶ τῶν εἰς τὴν ὀκτάτευχον ἀπορουμένων αἱ θαυμασταὶ ἐπιλύσεις, ὧν οὐδεὶς ἂν ἔχοι τοῖς τῶν ἱερῶν Γραφῶν σπουδασταῖς, βιβλίον κάλλιον ἀποδεῖξαι ἄλλο, καὶ συντελέστερον.

Ἀλλὰ τὰ μὲν τῷ Ἀνδρὶ συγγεγραμμένα, ἑξῆς ἐν μέρει, ὡς ἐν εἴδει καταλόγου ὑποθετέον· ἐν τούτοις δὲ τῆς κατ' αὐτὸν βιογραφίας ἐπιθετέον τὸ πέρας, ἐν οἷς, καὶ τὸ τοῦ βίου αὐτῷ ἐπεγένετο. Τοῦτον γὰρ, εἰ μὴ αὐτίκα (ὅτινες ὑπέλαβον) μετὰ μικρὸν, τῆς ἐν Χαλκηδόνι Συνόδου λυθείσης, τὸ φθαρτὸν ἀποθέσθαι σκῆνος συνέβη, (οὐ γὰρ ἐπιτρέπει δηλονότι, τὰ μετὰ τὴν Σύνοδον αὐτῷ φιλοπονηθέντα, οὕτω φρονεῖν.) ἀλλ' οὐ πολὺ μέντοι μετὰ τὴν Σύνοδον εἰκὸς αὐτὸν ἐπιδιαρκέσαι. Περὶ γοῦν αὐτὴν Ετ. 457.
τὴν διαδοχὴν τῆς Βασιλείας, ἡνίκα Λέων ὁ Θρᾴξ τῶν τῆς ἀρχῆς ἥψατο σκήπτρων, βραχύ που τυχὸν, ἢ πρόσθεν, ἢ ὕστερον, (οὐδὲν γὰρ τοῖς χρονογράφοισι περὶ τούτου εἴρηται ὡρισμένον καὶ βέβαιον·) ὑποληπτέον καὶ τὸν ἱερὸν Ἄνδρα μεταστάντα τῶν τῆδε, ἀποδημῆσαι πρὸς Κύριον, ἑβδομηκοστόν που τῆς ἡλικίας ἐνιαυτὸν ἄγοντα. Ὅτε δὴ καὶ τῆς ταφῆς ἐκεῖσε τὸν μακάριον, οὐκ ἀθεεὶ δήπου, μανθάνομεν ἀξιωθῆναι, οὗ αὐτὸς προευτρεπίσας ἦν τὸ σῆμα Ἰακώβῳ τῷ μεγάλῳ καὶ ἐν ἀσκήσει, καὶ ἐπὶ θαύμασι. „ Καίτοι γὰρ ἐκείνου τὸν Θεοδώριτον συνέβη προτελευτῆσαι, πλὴν καὶ
„ αὐτὸς ἐν τῇ αὐτῇ λάρνακι μικρὸν ὕστερον ἐναπετέθη ὁ μέγας Ἰάκωβος.

Φιλοθ. Ἱστορ. κα. Θεόδωρος Ἀναγν. Ἐκλογ. Ἱστορ. Βιβλ. Α.

Τὰ μὲν οὖν κατὰ τὸν μακάριον Θεοδώριτον, ὡς ἔκ τε τῶν αὐτῷ συγγραφέντων, καὶ τῶν ἐν τοῖς ἐκκλησιαστικοῖς ἀπομνημονεύμασι περὶ αὐτοῦ φερομένων, καθιστορῆσαι ἡμῖν ἐγένετο ταῦτα ἐστί. Θαυμαζέτω δὲ μηδεὶς, εἰ μὴ τὸν Ἄνδρα ἐν τῷ χορῷ τῶν ἄλλων ἁγίων ὁρᾷ ἐναρίθμιον· ὅσον γὰρ τῷτε ὑπὲρ τῆς εὐσεβείας διαπύρῳ ζήλῳ, καὶ τοῖς ὑπὲρ αὐτῆς τῆς πίστεως ἄθλοις ἀνήκει, τῷτε ἀκριβεῖ τοῦ πολιτεύματος καὶ ἀμέμπτῳ, καὶ δὴ καὶ τῷ τῆς ἄλλης ἀρετῆς πλούτῳ, δι' ὧν ἡ κατὰ ἄνθρωπον ἁγιότης χαρακτηρίζεται, χαλεπὸν οἶμαι τινὸς ὁτουοῦν τῶν πώποτε διαλαμψάντων ἐν τῇ Ἐκκλησίᾳ Πατέρων, εὑρεῖν τῇ παραθέσει τὸν μακάριον τοῦτον ὑπελαττούμενον· ἀλλ' ἡ περὶ τῶν τοῦ θείου Κυρίλλου δογματικῶν Κεφαλαίων, μεταξὺ πολλῶν ἑκατέρωθεν Διδασκάλων συστᾶσα κατ' ἐκεῖνο ἔρις καὶ δια-

διαμάχη· ϰ) τὸ εἰς ὑπόνοιαν κατ' ἀρχὰς μετὰ τῶν ἄλλων, ϰ) πρὸ τῶν ἄλλων ἴσως, ϰ) τὸν Θεοδώριτον κινηθῆναι, κατὰ τȣ̃ Φωςῆρος τῆς Ἀλεξανδρέων, ϰ) τῶν ὅσοι μετὰ τȣ́τȣ τὴν κατὰ τȣ̃ Χριςομάχȣ συνεκρότησαν Σύνοδον, τȣ́των ἐπὶ ποσὸν εἰς κόμμα ἀντιπεριενεχθέντα ἀντίπαλον· ϰ) τὸ πολλὰ μὲν εἰπεῖν, πολλὰ δὲ γράψαι, πολλὰ δὲ ϰ) διαπράξασθαι τὴν ἀρχὴν ἐφ' ᾧ τὰ κατὰ τὴν Ἔφεσον, ὡς δῆθεν μὴ καλῶς διαπεπραγμένα φρȣ̃δα θέσθαι ϰ) ἄκυρα· ταῦτα δὴ δευσοποιόντινα τὴν κηλῖδα προσέτριψεν αὐτῷ ϰ) δυσέκνιπτον· ἧς καίπερ ψήφῳ μετὰ ταῦτα συνοδικῇ τῆς ὅλης Ἐκκλησίας, ὡς δεδήλωται, ἀπηλλαγμένος, ἐνιζηκὸς, ὅμως καὶ ἐγκαθήμενον ἐς τȣ́πιὸν ἔχε τὸ ἴχνος, ὥσπερ οἱ διὰ τῆς ὑπολειφθείσης ȣ̓λῆς ἀπὸ τȣ̃ τραύματος, ϰ) μετὰ τὴν θεραπείαν τὸ δεῖγμα ἐπιφερόμενοι. Ἐντεῦθεν γȣ̃ν ἀκήρυκτόντινα τὸν πόλεμον ϰ) μετὰ τὰς διαλύσεις τῷ Θεοδωρίτῳ συνέβαινεν ὑπομένειν. Καὶ ȣ̓ μόνον τοῖς ἐκ διαμέτρȣ πρὸς ἀλλήλȣς ἀντιφρονȣ̃σι Νεςοριανοῖστε λέγω ϰ) Εὐτυχιανοῖς, ἀπεχθὴς ἦν ἐκ τȣ̃ ἴσȣ ϰ) ἀποτρόπαιος, ἀλλὰ ϰ) τῶν ὑπὲρ τȣ̃ ὀρθȣ̃ δόγματος ἱςαμένων, ἐνίοις, ȣ̓ πάνυ ὑπῆρχεν, (πλὴν ὅσον ἐκ μεταμελείας ἦν γνωσιμαχήσας, ἧπερ ἐδόκȣν,) ἀποδεκτός. Παρῆν γὰρ τοῖς μὲν, ἅτε ἑκατέρωθεν ἐκκλίνȣσιν ἐπὶ τὰς ἀκρότητας, τȣ̃τον ὡς τὴν μέσην πορευόμενον ϰ) βασιλικὴν ȣ̓κ ἀπεικότως εἶναι νεμεσητόν· τοῖς δ' ὡς ἐκκλῖναι ποτὲ δόξαντα, ȣ̓δὲν πλέον, ἢ συγγνώμης ἄξιον. Καὶ τȣ̃το δὲ τοῖς νȣνεχεςέροις δήπȣ ϰ) μᾶλλον νοήμοσι· τοῖς δ' ἁπλȣςέροις, μηδ' ὑπονοίας ἁπάσης εἰκὸς γενέσθαι ἐκτός. Ἀκȣ́οντες γὰρ τῶν μὲν τὰ Νεςορίȣ φρονȣ́ντων ἐπὶ Εὐτυχιανισμῷ τὸν Κύρȣ διαβαλλόντων, τῶν δὲ τὰ Εὐτυχȣ̃ς ἐπὶ Νεςοριανισμῷ ἀνάπαλιν, ȣ̓δ' εἰδότες ἦσαν τὸν Ἄνδρα πȣ̃ τάξαιεν. Κεκίνητο δὲ κατ' αὐτȣ̃ δυσμενέςατα πρὸ τῶν ἄλλων ἡ τῶν Εὐτυχιανῶν φάλαγξ· ȣ̓͂τοι γὰρ ϰ) τὸ ζῆν μεταλλάξαντα τοῖς Νεςορίȣ συνηρίθμȣν ἀναφανδὸν θιασώταις, τῷ μὲν δοκεῖν ἐκείνȣ καταφερόμενοι, ὡς ἄρα τὴν

κακο-

κακοδοξίαν νοσήσαντος, ἧς κἂν ἐνενοσήκει (ὅπερ οὐδείπω λόγος ἀριδήλως παρέστησεν) ἐπὶ τῆς οἰκουμενικῆς ὅμως Συνόδου, περιφανοῦς καὶ τῆς ἰάσεως ἔτυχε· τῷ δὲ ὄντι κατὰ τῆς Συνόδου ἐκείνης, δι' ἧς ἐν Χαλκηδόνι τούτων ἡ δυσσέβεια περιτέτραπται, μηχανὰς παντοίας κινοῦντες, καὶ ἄκυρον θέσθαι σπουδάζοντες, τὴν τῷ Νεστοριανῷ δῆθεν κοινωνήσασάν τε καὶ συμφρονήσασαν. Ἐντεῦθεν γὰρ καὶ ἡ ἐπὶ τοσοῦτον κατὰ τοῦ Ἀνδρὸς, καὶ μεταλλάξαντος ἤδη, ἐπικρατήσασα στάσις, ἕως ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου· ὅτε τῶν Οἰκουμενικῶν Συνόδων ἡ πέμπτη συγκροτηθεῖσα, τὰ μὲν κατὰ Κυρίλλου τε καὶ τῆς ἐν Ἐφέσῳ Συνόδου τῷ Θεοδωρίτῳ συντεταγμένα, Ἔτ. 553.
οἷα εἰκὸς κατέκρινεν ἐκκηρύξασα, αὐτὸν δὲ Θεοδώριτον, ἀκατάγνωστον προσωπικῶς ἀφῆκεν εἶναι, καὶ τῆς κοινωνίας ἄξιον, ἐν ᾗ καὶ ἡ προλαβοῦσα τετάρτη Οἰκουμενικὴ μετὰ εὐφημίας αὐτὸν προσεδέξατο.

Ἀλλ' οὐδὲν ἴσως βιογραφοῦντι συνείρειν δεῖ, καὶ ἐπεξιέναι, ἅττα τῷ Ἱστορουμένῳ παθεῖν συνέβη μετὰ τὴν ἀποβίωσιν. Ὅτι δὲ τῷ τῶν Πατέρων, καὶ τῶν τῆς ἐκκλησίας Διδασκάλων χορῷ, πάντες ἑξῆς τὸν Θεοδώριτον σὺν εὐφημίαις ταῖς προσηκούσαις, καὶ τοῖς δικαιοτάτοις ἐπαίνοις τάττουσιν ἐναρίθμιον, πάρεστιν ἰδεῖν ἐξ ὧν περὶ αὐτοῦ γράφουσιν, οἷς μνείαν τοῦ Ἀνδρὸς ποιῆσαι ποτὲ ἐγένετο· ἐξ ὧν ἐγὼ δύο αὐτῷ προσμαρτυροῦντας ἐκ τῶν πολλῶν παραθέσθαι ἐνταῦθα οὐδαμῶς ὀκνήσω.

Τούτων ὁ μὲν Θεόδωρος ἐστὶν ὁ (ἥτινες συμβάλλουσι) Παλαιστινὸς Ἀββᾶς τε καὶ Φιλόσοφος, ὁ περὶ τὸ πεντακοσιοστὸν ὀγδοηκοστὸν ἀπὸ τῆς Σωτηρίου οἰκονομίας ἀκμάσας. Οὗτος ἐν οἷς τὰ περὶ τῆς ἐν Ἐφέσῳ Οἰκουμενικῆς Συνόδου ἐπιτετμημένῳ ἐξιστορεῖ λόγῳ, τοιάδε περὶ Θεοδωρίτου ἐπὶ λέξεως ἔχει.

„ Εὑρέθη δὲ μετὰ Ἰωάννου (τοῦ Ἀντιοχείας) Θεοδώριτός τις ἐλλο-
„ γιμώτατος Κύρου Ἐπίσκοπος πόλεως Ἀνατολικῆς· οὗτος κατὰ Κυ-
„ ρίλλου λέγων ἐπελαμβάνετο καὶ τῶν δώδεκα Κεφαλαίων, ὧν ἔγραψεν ἐν

„ τῇ τρίτῃ ἐπιςολῇ τῇ πρὸς Νεςόριον, ϗ ἀνέτρεπεν αὐτά, λέγων ὅτι
„ Ἀρειανὸς ἐςὶν ὁ ἅγιος Κύριλλος, ϗ τὰ Εὐνομίȣ ϗ Ἀπολλιναρίȣ Φρο-
„ νεῖ. Ὁ γὰρ Κύριλλος Νεςορίῳ ἀπομαχόμενος τῷ διαιρȣ̃ντι τὴν οἰκο-
„ νομίαν, τῆς ἑνώσεως μᾶλλον Φροντίδα πεποίηται· ὅθεν ϗ ἐδόκει πως
„ τῷ Θεοδωρίτῳ, ὡς μίαν Φύσιν δοξάζων, ὡς οἱ Ἀρειανοί, ϗ οἱ περὶ τὸν
„ Ἀπολλινάριον. Πλὴν ȣ̓́τε Θεοδώριτος Φαίνεται πώποτε τὸν Νεςόριον
„ ὑπερμαχόμενος, ἀλλὰ μόνον τὸν Κύριλλον ἀπομεμΦόμενος, διὰ τὴν
„ συμβᾶσαν εἰς Ἰωάννην ἀτιμίαν. Εἰ δὲ βȣ́λεταί τις γνῶναι, ὅτι Θεοδώ-
„ ριτος καὶ λίαν ἐμίσει Νεςόριον, ἀναγνώτω τὸ περὶ τῶν Αἱρέσεων
„ αὐτῷ Θεοδωρίτῳ γεγραμμένον βιβλίον.

Ὁ δὲ Ἰωάννης ἐςὶν ὁ Εὐχαΐτων, ἐν Ἔτ. 1054. Ἀνὴρ σοφίατε ϗ ἁγιότητι διαπρέψας, ὃς ἐν ἐκλογαῖς τῶν Ἐκκλησιαςικῶν ΣυγγραΦέων, ςίχοις Ἰάμβοις, περὶ Θεοδωρίτȣ ταῦτα ᾄδει.

Ἐνιςορήσας τȣ̀ς σοΦȣ̀ς διδασκάλȣς,
Καὶ τὸν Θεοδώριτον αὐτοῖς ἐγγράΦω.
Ὡς Ἄνδρα Θεῖον, ὡς διδάσκαλον μέγαν,
Ὡς ἀκράδαντον ὀρθοδοξίας ςύλον.
Ἂν δ' ἐκλονήθη μικρὸν ἔκτινος τύχης,
Ἄνθρωπος ἦν, ἄνθρωπε μὴ κατακρίνῃς.
Οὐ γὰρ τοσȣ̃τον δυσσεβὴς ἦν ὁ κλόνος,
Ὅσον μετεῖχε τῆς ἐρισικῆς βίας.
Τί γάρ; Κύριλλον πανταχȣ̃ νικᾶν ἔδει;
Καὶ δογματιςὴν ὄντα καὶ λογογράΦον;
Ὅμως δὲ τȣ́τῳ καὶ διώρθωται πάλιν·
Τὰ δ' ἄλλα πάντα τῶν μεγίςων Ποιμένων,
Βλέπων τὸν Ἄνδρα μηδενὸς λελειμμένον,
Ἐνταῦθα τȣ́τοις εἰκότως συνεγγράΦω.



Franckesche Stiftungen zu Halle

Οἱ μὲν οὖν οὕτως· ἐμοὶ δὲ ἀκόλουθον ἐν ὀλίγοις, καὶ τὰ πεπονημένα τῷ Ἀνδρὶ διεξελθεῖν, ὅσατε καθ' ἡμᾶς ἔλαχε περιεῖναι σωζόμενα, καὶ ὅσα ἄλλως ἐξίτηλα τῷ χρόνῳ γενόμενα, λήθης ὅμως παντελοῦς οὐ παρεδόθη βυθοῖς, ἀλλὰ περιάδεται ἔτι, τῶν μέν που μνείαν τινὰ πεποιημένου αὐτοῦ τοῦ συγγράψαντος, τῶν δὲ καὶ παρ' ἄλλοις ἀναφερομένων, ἤτοι ἁπλῶς κατ' ὄνομα διαμνημονεύσασιν, ἢ καὶ ἔστιν ἄττα προαγαγοῦσιν ἐξ ἐκείνων ἀποσπασμάτια.

## ΤΩΝ ΤΟΙΝΥΝ ΣΩΖΟΜΕΝΩΝ ΤΑΔΕ ΦΕΡΕΤΑΙ.

## ΕΡΜΗΝΕΥΤΙΚΑ.

Εἰς τὰ ἄπορα τῆς θείας Γραφῆς κατ' ἐκλογήν· ἤτοι ἐξήγησις εἰς τὴν Ὀκτάτευχον· καὶ ἔτι εἰς τὰ τῶν Βασιλειῶν, καὶ εἰς τὰ Παραλειπόμενα· ἃ δὴ καὶ τὸ δεύτερον τοῦ Συγγράμματος αὐτῷ μέρος ἔοικεν ἀποπληροῦν, διὰ τοῦ προτεταγμένου τούτων ἰδίᾳ προλόγου διαστελλόμενα. Ἐν τούτοις οὖν καί τινα τῶν ἐκ τοῦ Ὠριγένους, καὶ Διοδώρου, καὶ τοῦ Μοψουεστίας Θεοδώρου ἐνιαχοῦ παρενσπειρόμενα ἀπαντᾷ· λιχνευσαμένου ἢ δοκεῖν τινος τῶν ἀντιγραψάντων, καὶ ἐκ τῶν Σειρῶν αὐτὰ προσθεμένου, ὡς ἂν ἔχῃ τὸ σύνταγμα περιττότερον. Σεσημείωται γοῦν τόδε ἔσχατον τὸν Θεοδώριτον ἐκπονῆσαι, ἀξιώσει Ὑπατίου, κατὰ τὸ 453. σωτήριον ἔτος τὴν συγγραφὴν ἀναβαλόμενον. Τὰ δὲ βιβλία ταῦτα ἀνεγνώσθη καὶ Φωτίῳ τῷ Πάνυ (Κώδικ. σδ'.) κατελέχθη δὲ καὶ Νικηφόρῳ τῷ Καλλίστῳ ἐν Ἐκκλ. Ἱστορ. Βιβλ. ιδ'. Κεφ. νδ'.

Ἑρμηνεία εἰς τοὺς ρ̄ν Ψαλμοὺς, ἣν Ἔτ. 433 — 445. συγγράψαι φέρεται· ἐν ταύτῃ δὲ παρατετήρηται τὰ τοῦ Χρυσοστόμου ὁ Θεοδώριτος πῆ μὲν ἐπιτέμνων, πῆ δὲ καὶ αὐτοῖς ἀναγράφειν τοῖς ὀνόμασιν ἀγαπῶν. Ἃ δὲ ὡς αὐτοῦ ὄντα, ἐκ τῶν εἰς τοὺς Ψαλμοὺς Σειρῶν, τῷ Θεοδωρίτῳ προσανατιθέασι, τὰ ἐκ τῆς αὐτοῦ τραπέζης πίπτοντα οἷον ψυχία φιλοτιμούμενοι ἀναλέγεσθαι, οὐ πάντες ἐγκρίνουσι.



Franckesche Stiftungen zu Halle

σι. Μέμνηται δὲ τοῦδε τοῦ ἰδίου πονήματος καὶ αὐτὸς ὁ διαπονήσας, ἐν τῇ Β΄. τῶν Βασιλειῶν, Ἐρωτ. μγ΄. καὶ ἐν Ἐπιστολ. πβ΄. ἣν Εὐσεβίῳ ἐπιστέλλει τῷ Ἀγκύρας· καὶ Νικηφόρος δὲ ὁ Κάλλιστος ἐν τῷ καταλόγῳ τῶν Θεοδωρίτου Συγγραμμάτων, (ἔνθ. ἀνωτ.) τῆς αὐτῆς Ἑρμηνείας μνήμην πεποίηται.

Ἑρμηνεία εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων· ἣν καὶ πρὸ τῆς εἰς τοὺς Ψαλμοὺς δῆλος ἐστὶν ἐκθέμενος, ἅτε δὴ ἐν τῷ εἰς ἐκείνην προλόγῳ ταύτης διαμνημονεύσας. Συνεγράφη δὲ ἡ εἰς τὸ Ἆσμα αὕτη σαφήνεια Ἰωάννῃ τῷ Ἀντιοχείας ὑπὸ Θεοδωρίτου κατὰ τὸ 425· ἀρτίως ἢ δοκεῖ συγγράφειν ἐπιχειρήσαντος· ἐπεὶ οὐδ' ἔχομέν τι πονηθὲν αὐτῷ πρότερον ὑποδεῖξαι, ἐξ ὧν αὐτοῦ πονημάτων ὡς ἡμᾶς διασώζεται. Καίτοι καὶ περὶ τούτου ἔπεισί τισιν ἐνδοιάζειν εἰ γνήσιον. Ἀλλά τόγε τῶν ἐν αὐτῷ χρήσεις τινὰς ὑπὸ τοῦ Ῥώμης Πελαγίου τοῦ Β΄., ἢ Γρηγορίου τοῦ Διαλόγου προβάλλεσθαι ἐν Ἐπιστολῇ τῇ πρὸς τοὺς Ἐπισκόπους τοῦ Ἰλλυρικοῦ· ναιμὴν καὶ διὰ τὸ μὴ πάνυ ἰσχυροὺς εἶναι τοὺς λόγους τῶν παραγραφόντων, εἰς τὸ τοῖς γνησίοις συναριθμεῖσθαι ἐνίκησεν.

Ἑρμηνεία εἰς τὸν Δανιὴλ, εἰς τὸν Ἰεζεκιὴλ, εἰς τοὺς δώδεκα Προφήτας· εἶτα εἰς τὸν Ἡσαΐαν, εἰς τὸν Ἱερεμίαν, καὶ Βαροὺχ, καὶ εἰς τοὺς Θρήνους. Ἐξ ὧν τὸ εἰς τὸν Ἡσαΐαν κυρίως οὐκ ἔστιν ἄρτιον, ἐκλογῶν δέ τις σωρεία μᾶλλον ἢ ὑπόμνημα, ἐκ τῶν Σειρῶν ἀθροισθεῖσα, ἔνθα καὶ τῶν τοῦ Μοψουεστίας Θεοδώρου πολλὰ συμμέμικται. Ταῦτα δὲ πάντα τῇ αὐτῇ καὶ ἐξετέθη τῷ χρόνῳ τάξει ἣ καὶ ἡμῖν κατεγράφη, ἀπὸ ἔτους 426. ἄχρι τοῦ 429. φιλοπονηθέντα. Περὶ ὧν καὶ αὐτῷ τῷ Συγγράψαντι ἐν ἄλλοις τῶν αὐτοῦ εὑρήσεις γινομένην μνείαν, πῇ μὲν ὁλοσχερέστερον, πῇ δ' ἰδιαίτερον· οἷον Ἐπιστολ. πβ΄. Εὐσεβίῳ, τῷ Ἀγκύρ. καὶ Ἐπιστολ. ριγ΄.

Λέοντι τῷ Ῥώμης· καὶ περὶ τὸ τέλος δὲ τῆς Ἑρμην· τῶν Θρήν· καὶ ἐν τῇ Δ'. τῶν Βασιλει. Ἐρωτ. νβ'. καὶ Ἐρωτ. νζ'. καὶ εἰς τὸν Ἱερεμ. Ἐρωτ. κβ'. καὶ Ἐρωτ. λα'. καὶ ἐν τῷ Προλόγῳ τῷ εἰς τοὺς Ψαλμοὺς. Περὶ δὲ τῆς εἰς τὸν Δανιὴλ Ἑρμηνείας, καὶ Φώτιος ἐν τῇ Βιβλιοθήκῃ διέξεισιν ἐν Κώδικ. σγ'. Καὶ περὶ τῆς εἰς τοὺς ΙΒ'. δὲ Προφήτας ἐν Κώδικ. σε'. Συνόλως δὲ καὶ Νικηφόρος ὁ Κάλλιστ. ἐν τῷ Καταλόγ· Ἐκκλ. Ἱστορ. Βιβλ. ΙΔ'. Κεφ· νδ'., τὸ εἰς τοὺς ἑκκαίδεκα Προφήτας Τεῦχος ἐν τίθησιν.

Ἑρμηνεία εἰς τὰς ΙΔ τοῦ Παύλου Ἐπιστολάς. Γέγραπται δὲ μετὰ τὴν ἐν Ἐφέσῳ συστᾶσαν Σύνοδον, περὶ τὸ 432. Ἐπίσημον δ' ἐν τοῖσδε τοῖς ὑπομνήμασι τὸ ἐν τῇ πρὸς Γαλάτας Κεφ· β'. ἀπὸ κόμματος ε'. ἕως ιε'. κεχηνὸς τοῦ χωρίου. Περὶ οὗ Καβέος ὁ Ἄγγλος οὐχὶ περιττὸς ἐστὶ θαυμάζων, ὅτι οὐδὲ γρῦ τῷ Ἰησουΐτῃ Γαρνερίῳ περὶ τοῦ ἀκρωτηριασμοῦ σεσημείωται, τῷ τὰ περὶ τὸν Θεοδώριτον πάντα ἐπὶ τοσοῦτον ἄλλως ἐκλεπτουργήσαντι; Ἀμέλειτοι, ἀποφρὰς ἦν ὁ λόγος, καὶ τοῖς Παπολάτραις ὁ τόπος ἀποτροπιασμοῦ ἄξιος. Τῶν δ' ὑπομνημάτων εἰς τὰς Ἐπιστολὰς, καὶ αὐτὸς αὖθις ἀλλαχοῦ ἐμνήσθη ὁ Θεοδώριτος, Ἐπιστ· α'. Ἀνωνύμῳ. καὶ πβ'. Εὐσεβ. Ἀγκύρ. καὶ ριγ'. τῷ Ῥώμης Λέοντι. καὶ δὴ καὶ Νικηφόρ. ἔνθα ἀνωτέρω.

Καὶ τὰ μὲν ἐξηγητικὰ ταῦτα, περὶ ὧν ὁ Φώτιος, Ἀνὴρ ἰδέαν λόγου κατηρτισμένην συνιδεῖν τε καὶ ἐπικρίναι, εἴπερτις ἄξιος, οὕτως ἀποφαίνεται, ὡς μηδενὶ δοκεῖν περὶ τὸ ἑρμηνευτικὸν εἶδος τὰ πρεσβεῖα πρὸ τοῦ Θεοδωρίτου προσνείμασθαι. Τὸ γὰρ εἰς τὸν Δανιὴλ ὑπόμνημα ἐπικρίνων ἐν Κώδικ. σγ'. Μακρῷ μὲν οὗτος φησὶν ὁ σοφὸς Ἀνὴρ, οὐχ Ἱππολύτου μόνον (περὶ τούτου γὰρ ἦν ὁ λόγος τῷ Φωτίῳ ἐν τῷ ἀμέσως ἀνωτέρῳ Κώδικ.) ἀλλὰ

καὶ πολλῶν ἄλλων τῇ τῶν προφητικῶν ῥημάτων ἀναπτύξειτε καὶ διακαθάρσει κρατεῖ. Ἔςι δὲ τὴν φράσιν, εἴτις ἄλλος, ἑρμηνείαις πρέπων· τῷ τε καθαρῷ καὶ εὐσήμῳ τῶν ῥημάτων ἀνακαλύπτων τὰ συνεσκιασμένα, καὶ τῷ ἡδύνοντι, ἅτε δὴ διαγλυκαίνοντι προθυμοτέρȣς πρὸς τὴν ἀνάγνωσιν παρασκευάζων. Ναιμὴν καὶ τῷ πρὸς μηδεμίαν ἐκτροπὴν καὶ παρέκβασιν ἀποφέρεσθαι τȣ̃ προκειμένȣ, κόροντε ἀφαιρȣ́μενος πάντα, καὶ τὴν μάθησιν τῶν ζητȣμένων ἀσύγχυτόντε καὶ ἀδιασκέδαςον καὶ εὐχερῆ τοῖς ἀναλεγομένοις αὐτȣ̃ τὸν πόνον ἐμποιῶν. Καὶ ἡ λέξις δὲ αὐτῷ, καὶ ἡ συνθήκη τῆς ἀττικῆς εὐγενείας ȣ̓ φεύγει τὰς γονάς· Πλὴν εἴτι περιεργότερον αὐτῆς ἐςί, καὶ τῆς, ὡς φάναι, πολλῶν ἀκοῆς ἀνακεχωρηκὸς, τȣ̃το δὲ, ὅτι μηδὲ προσῆκον ἑρμηνείᾳ ἀποκλίνει. Καὶ ὅλως εἰς τὸ ἄριςον ἐςὶ τῶν Ἐξηγητῶν, καὶ ȣ̓κ ἔχον ῥᾳδίως τὸν ἄμεινον διασαφȣ̃ντα, ἀνηγμένος. Ἔςι μὲν γὰρ καὶ ἄλλοις τὸ καθαρῶς εἰπεῖν, καὶ ἀνιχνεῦσαι τὸν νȣ̃ν τῶν θεωρȣμένων, τὸ δ' ἅματε σαφῶς εἰπεῖν, (καὶ) μηδὲν τῶν ἀναγκαίων ἐν τῷ συντόμῳ παραλιπεῖν, μηδὲ πρὸς ἐκδρομὰς, ἢ ἐπιδεικτικὰς σοφίας χωρεῖν· ἢ, ἄλλως μὲν ȣ̓κ ἀχρήςȣς ποιεῖν, παρασύροντα δὲ τȣ̃ προκειμένȣ μὴ ἀπιδεῖν, (εἴτινι ἄλλῳ) καὶ τῷ χρηςῷ Θεοδωρίτῳ ἔνεςιν ἐσπȣδασμένον· ȣ̓κ ἐν ταύτῃ μόνον τῇ πραγματείᾳ, ἀλλὰ, μικρȣ̃ δέω φάναι, καὶ ἐν πάσαις. Τὴν αὐτὴν δὲ ψῆφον ὁ Κριτικὸς ἐπιφέρει, καὶ τὴν εἰς τȣ̀ς δώδεκα Προφήτας ἑρμηνείαν διεξελθὼν, (ἐν Κώδι. σέ·) ἐν τῇ αὐτῇ τῶν λόγων καλλονῇ καὶ τῆς διανοίας διεσκευασμένον ἐπιμαρτυρῶν τὸ βιβλίον. Καὶ μὴν καὶ περὶ τῶν εἰς τὴν Ὀκτάτευχον, καὶ τὰς Βασιλείας,

Franckesche Stiftungen zu Halle

σιλείας, ϗ τὰ Παραλειπόμενα, τὸ δοκεῖν ἀποφαινόμενος (ἐν Κώδ. σδ΄.) τῆς συνήθους αὐτῷ (φησὶν) ἰδέας διαπρεπούσης, ἔχει τὶ, πρὸς τῷ σαφέστερον ὁρᾶν καὶ εὐκατάληπτον, καὶ ἕτερον πλεονέκτημα, καὶ τὸ ὡς ἐν Κεφαλαίῳ κατὰ τὸ ἀπορούμενον καὶ ἐπιλυόμενον, τὸ βιβλίον διατετυπῶσθαι.

## ΤΟΥ ΔΕ ΘΕΟΔΩΡΙΤΟΥ ΕΝ ΤΟΙΣ ΣΩΖΟΜΕΝΟΙΣ ΤΑ ΕΞΗΣ ΙΣΤΟΡΙΚΑ.

Ἡ Φιλόθεος Ἱστορία, ἢ ἀσκητικὴ Πολιτεία· ἐν ᾧ δὴ βιβλίῳ τριάκοντα Φιλοθέων Ἀνδρῶν τὴν πολιτείαν συγγράψαι προέθετο, τῶν ἐν σώματι θνητῷ τε ϗ παθητῷ, ἀπάθειαν (ὡς αὐτὸς φησὶν) ἐπιδεδειγμένων, ϗ τὴν ἀσωμάτων φύσιν ἐζηλωκότων· ὧν ἐνίων μὲν αὐτόπτης ἐγένετο ϗ αὐτὸς, ἐνίων δὲ τοὺς ἄθλους παρὰ τῶν ἐκείνους θεάσασθαι ἠξιωμένων παρέλαβε. Γεγράφθαι δὲ τὸ Βιβλίον αὐτῷ κρίνεται κατὰ τὸ 444. Καὶ τοῦδε ϗ αὐτὸς μὲν ὤφθη τοῦ Φιλοπονήματος μεμνημένος ἐν τῇ μετὰ τοῦτο πάντως αὐτῷ συγγραφείσῃ Ἐκκλησιαστικῇ Ἱστορίᾳ Βιβλ. Δ΄. Κεφ· λδ΄. Καὶ ἐν Ἐπισ. πβ΄. Εὐσεβ. Ἀγκύρ. Καὶ ὁ θεῖος δὲ Δαμασκηνὸς ἐν τῷ περὶ Εἰκόνων Βιβλ· γ΄. Οὐ χρὴ δέ τισι τῶν ὕστερον προσέχειν, εἰ μὴ πάνυ εὔπιστα τὰ ἐν τῷδε τῷ Συγγράμματι ἱστορούμενα σφίσι δοκεῖ· οὗτοι γάρ εἰσὶ (περὶ ὧν ὁ Πατὴρ φθάσας προσεσημήνατο.) οἱ οὐ λίαν ἀκριβῶς τὰ θεῖα μεμυημένοι· οἱ σφίσιν ἑαυτοῖς τὴν ἀρετὴν τῶν ἄλλων μετροῦντες, ϗ ἀπιστοῦντες τοῖς λεγομένοις, εἴτι ὑπὲρ τὴν ἑαυτῶν ἀκούοιεν δύναμιν.

Ἐκκλησιαστικῆς Ἱστορίας λόγοι ε΄. οὓς ἐν Ἔτει 450. συνταξάμενος

φαί-

Franckesche Stiftungen zu Halle

φαίνεται. Ἀναγράφει δὲ ἡ Ἱστορία τὰ ἀπὸ τοῦ Σωτηρίου ἔτους 325, ἄχρι τοῦ 429. κατὰ τὴν Ἐκκλησίαν συνενεχθέντα, καὶ τῶν ὑπὸ Εὐσεβίου τοῦ Παλαιστίνου προαναγραφέντων, τὰ ἀπὸ τῆς Αὐταρχίας τοῦ Μεγάλου Κωνσταντίνου, ἕστ' ἐπὶ τὴν Θεοδοσίου τοῦ Νεωτέρου, ἀναπληρῶν ἐπιχειρεῖ τὰ λειπόμενα. Ἔνθεν τοι καὶ τὰ ἐπὶ Γενναδίου περιφερόμενα ἐπὶ τούτοις ἕτερα Βιβλία ε΄. ἐν οἷς ἀπὸ τοῦ 427, ἄχρι τοῦ 517· προάγεται ἡ ἀφήγησις, ὧν καὶ Θεόδωρος ὁ Ἀναγνώστης ἐν ταῖς ἐκλογαῖς δὶς ἐμνημόνευσε, καὶ δὶς ὁμοίως ὁ Θεῖος Δαμασκηνὸς ἐν Βιβλ· γ΄. τῶν περὶ τῶν Εἰκόνων, ἐκεῖνα ὡς ὑποβολιμαῖα σαφῶς ἀποδοκιμάζεται. Ταῦτα μὲν γὰρ εἰς τὴν τοῦ Λέοντος πρόεισι βασιλείαν, τὸν δὲ Θεοδώριτον εἰς ὅπερ εἴρηται τέρμα τὴν Ἱστορίαν αὐτοῦ προαγαγεῖν τε καὶ καταπαῦσαι, Εὐάγριος οὐχ ὅπως (ἐν τῷ Προοιμ. τῆς Ἐκκλησι. Ἱστορ.) καὶ μετὰ τοῦτον Φώτιος (ἐν Κώδικ. λα΄.) παρέδωκαν, ἀλλὰ καὶ Θεοδώριτος αὐτὸς ἐπιλογίζων τὸ Σύνταγμα, ἀριδήλως ἑαυτῷ ἐπιμαρτυρεῖ. Μέμνηται δὲ πρὸς τοῖς εἰρημένοις, τοῦ Συγγράμματος καὶ Νικηφόρος ὁ Κάλλιστος, ἐν τῇ Ἐκκλησ· Ἱστορ. Βιβλ. ΙΔ΄. Κεφ. νδ΄.

Τούτοις δ' ἄντις καὶ τὰ κατὰ τῶν Αἱρέσεων τῷ Ἀνδρὶ ἀναγεγραμμένα συγκαταλέξας ἴσως οὐκ ἄτοπος δόξειεν· ἅτε μηδὲ ταῦτα τῆς καθ' ἱστορίαν ἰδέας πόῤῥωπου πίπτοντα· εἴγε τῆς τῶν Ἐκκλησιαστικῶν Πραγμάτων ἀφηγήσεως, τὸ τῆς Αἱρεσιολογίας μέρος εἶναι κρίνεται μάλιστα κυριώτατον. Αὐτοὶ μέντοι τοῖς Πολεμικοῖς (ἣ καλεῖν οἱ καθ' ἡμᾶς εἰώθασι) τῶν Συγγραμμάτων ἐφεξῆς αὐτὰ συνεκτάξομεν, ἐκεῖνο δὴ προσεσημειωκότες, τὸ μηδὲν ἧττον τοῦ Ἐξηγηματικοῦ τὸ Ἱστορικὸν εἶδος τοῦ λόγου, τὸν Θεοδώριτον ἀκριβώσαντα, πολλῶν κἂν τούτῳ, οὐ παρὰ τὸ εἰκὸς, ὑπὸ τοῦ Φωτίου ταχθῆναι πρότερον. Πάντων καὶ γὰρ (ὡς ἐν Κώδικ. λα΄. ὁ Κριτικὸς ἀποφαίνεται·) τῶν εἰρημένων (Εὐσεβίου δη-



Franckesche Stiftungen zu Halle

λονότι, καὶ Σωκράτους, καὶ Εὐαγρίου τοῦ Σχολαστικοῦ, καὶ Ἑρμείου τοῦ Σωζομένου, περὶ ὧν ὁ λόγος ἦν αὐτῷ ἐν τοῖς ἀνωτέρω Κώδιξιν κζ΄. κη΄. κθ΄. λ΄.) κατάλληλον φράσιν τῇ Ἱστορίᾳ μᾶλλον οὗτος ἐπέθηκε. Σαφής τε γὰρ καὶ ὑψηλὸς, καὶ ἀπέριττος· πλὴν ὅτι ἐνίοτε ταῖς μεταφοραῖς παραβόλως, καὶ ὥσπερ ἀπειροκάλως ἐχρήσατο.

Τὰ δ᾽ ἑξῆς, ὡς κατά τινων τῷ Θεοδωρίτῳ ἀγωνισθέντι, ἐπὶ τὸ πολεμικὸν, ἤ φασιν, εἶδος τετυπωμένα, καλείσθω.

## ΑΓΩΝΙΣΤΙΚΑ.

Θεραπεία Ἑλληνικῶν Παθημάτων, ἐν Βιβλίοις ΙΒ΄. ἅπερ ἐν ἔτει 427. συγγεγράφθαι λέγεται. Περὶ ὧν καὶ αὐτὸς ἀνεμνήσθη ὁ Συγγράψας ἐν Ἐρωτ. α΄. τῶν εἰς τὸ Λευιτικόν. Καὶ ἐν Ἐπιστ. ριβ΄· Λέοντι τῷ Ῥώμης. Καὶ Ἐπιστ· ρις΄· Ρενάτῳ Πρεσβυτέρῳ. Ἐμνήσθη δὲ καὶ Ἰωάννης ὁ Τζέτζης ἐν Χιλιάδι θ΄. ἐξ οὗ καὶ Φαβρίκιος ἐν τῇ Ἑλληνικ· Βιβλιοθήκῃ Τεύχει ζ΄. Σελίδι 438. τοὺς τρεῖς παρέθετο στίχους τοὺς ἐφεξῆς.

> Οὐδέτε Θεοδώρητος ἐν βίβλῳ τῇ ἰδίᾳ
> Ἣν θεραπείαν ἔγραψεν Ἑλληνικῶν παθῶνδε·
> Δύο ἐπῶν ἐν τοῦ χρησμοῦ, δοκῶμοι, μνημονεύει.

Ἀνατροπὴ τῶν ΙΒ΄. Κεφαλαίων, ἢ Ἀναθεματισμῶν τοῦ Θεσπεσίου Κυρίλλου, ἧς Ἐπιστολὴ ἐν εἴδει Προλόγου ἡγεῖται Ἰωάννῃ τῷ Ἀντιοχείας, τῷ τὴν Ἀντίῤῥησιν ἐπιτάξαντι. Χρονολογεῖται δὲ ἡ συγγραφὴ αὕτη κατὰ τὸ 429. πρὸ τῆς ἐν Ἐφέσῳ συστάσης Συνόδου, παρὰ πάντων· οὐδενὶ γὰρ πιθανὸς Θεόδωρος ὁ Ἀναγνώστης (ἐν Ἐκλογαῖς τῆς Ἐκκλησ. Ἱστορ.) μετὰ τὰς γενομένας Κυρίλλου μεταξὺ καὶ τῶν Ἀνατολικῶν συμβάσεις, τὴν ἀνατροπὴν τῶν Κεφαλαίων ὑπὸ Θεοδωρίτου συγγραφῆναι ὑποτιθέμενος.

Ὁ Ἐρανιστὴς, ἢ Πολύμορφος ἐν Βιβλ. Δ΄. ὧν τὰ μὲν τρία ἐν ὕφει

Διαλόγου διατετύπωται, τῆς ἐπὶ τοῦ Θεανθρώπου Θείας Φύσεως κατασκευάζοντα, τὸ μὲν α΄. τὸ ἄτρεπτον· τὸ δὲ β΄. τὸ ἀσύγχυτον· τὸ δὲ γ΄. τὸ ἀπαθές. Τὸ δ᾽ ἐπὶ τούτοις δ΄. πρὸς τὸ ἀποδεικτικώτερον διὰ Συλλογισμῶν τεχνιτεύεται. Ἐπιγέγραπται δὲ τὸ ὅλον σύνταγμα Ἐρανιστής, ἢ Πολύμορφος, ὡς ἐκ ποικίλων τε καὶ πολυσχεδῶν Αἱρέσεων, ἐπ᾽ ἐλέγχῳ τῆς πολυειδοῦς κακοδοξίας συνερανισθέν. Ἐκπεπόνηται δὲ Ἔτ. 446. ἢ πρὸ τοῦ 448. πάντως· ἐπὶ γὰρ τῆς λῃστρικῆς Συνόδου δισσῷ διατάγματι τοῦ Βασιλέως Θεοδοσίου, τῷ μὲν Ἔτ. 447. ἐκδοθέντι, τῷ δὲ Ἔτ. 449. φλοξὶ παρεδόθη· τὸ δ᾽ οὖν Σύγγραμμα τόδε καὶ αὐτὸς ἔοικεν ὁ Θεοδώριτος ὑπαινίττεσθαι ἐν Ἐπιστολ. ις΄. Εἰρην· καὶ πγ΄. Διοσκ. ἐν αἷς ἀναφέρει τοὺς Διδασκάλους, ὧν ταῖς μαρτυρίαις ἐχρήσατο. Ἀλλὰ καὶ Φώτιος ἐν Κώδι. μς΄. καὶ τόδε πρὸς τοῖς ἄλλοις τῶν τοῦ Θεοδωρίτου διεληλυθέναι γράφων, τοῖς συνήθεσιν ἐπαίνοις τὸν Ἄνδρα κατακοσμεῖ· ὡς σαφὴς (λέγων) τὴν φράσιν ἐστίν, ὡς εὐκρινὴς καὶ καθαρός, καὶ οὐκ ἄμοιρος τοῦ ἡδέος, ὡς καταλλήλως τοῖς νοήμασιν εὐθυνόμενος. Καὶ Νικηφόρος δὲ ὁ Κάλλιστος ἐν τῇ Ἐκκλησι. Ἱστορ· Βιβλ· ΙΔ΄. Κεφ· νδ΄. λόγους τρεῖς περὶ Θείων δογμάτων διαλογικῶς συντεταγμένους ἀναγράφων τῷ Θεοδωρίτῳ, δῆλος ἐστὶ τοὺς περὶ ὧν ὁ λόγος ἡμῖν ἐπισημηνάμενος.

Αἱρετικῆς κακομυθίας ἐπιτομὴ ἐν Βιβλ. Δ΄. Ἐφ᾽ οἷς καὶ πέμπτον αὐτῷ ἐπισυνετάχθη τὴν τῶν Θείων δογμάτων ἐπιτομὴν περιέχον, κατὰ τῆς ἐκ τῶν παντοδαπῶν αἱρέσεων δηλητηριώδους κακοφροσύνης, οἱονεὶ σωτηριῶδες ἀντίδοτον. Συγγέγραπται δὲ Σποραΐκίῳ αἰτήσαντι τὸ ὑπόμνημα, περὶ ἔτος τὸ 452. ὅπερ ἐν Ἐπιγραφῇ τῇ κατὰ τῶν Αἱρέσεων, καὶ Φώτιος ἐμνήσθη (ἐν Κώδικ. νς΄.) σαφῆ τὴν φράσιν, καὶ ἀπέριττον τῷ Συντάγματι ἐπιμαρτυρῶν. Καὶ Θεόδωρος δὲ ὁ Ἀββᾶς καὶ Φιλόσοφος ἐν τοῖς περὶ

τῆς

Franckesche Stiftungen zu Halle

τῆς ἐν Ἐφέσῳ Συνόδȣ· ϗ Νικηφόρος ὁ Κάλλιστος, ἔνθα πολλάκις. Τȣ́των δ᾽ ἐπείτινες ϗ τȣ̃ Δ΄. Βιβλ· τὸ ἔχατον τῶν Κεφαλαίων ἰδίᾳ ἐπισημειȣ́μενοι φέρονται, μάτην ἄρα, ϗ ȣ̓δενὶ σὺν λόγῳ, τὸ ὑπὸ τῶν Ἀρχαιοτέρων ἐν τοῖς γνησίοις πάλαι ἐγκριθὲν, ὑποβολῆς εὐθύναις τῷ Νεωτέρῳ Γαρνερίῳ ὑπενήνεκται ὕϛερον. Ἀλλ᾽ ὅτι μὲν δὴ τῷ Ἰησȣΐτῃ, καί τοι ἄλλως σπȣδὴν ȣ̓́τοιγε μεμπτὴν περὶ τὰ Θεοδωρίτȣ εἰσενεγκόντι, ἔργον τȣ̃το πρῶτον, ϗ πύματον, ϗ μέσον φασὶν, ἐκ παντὸς τρόπȣ τὸν Ἄνδρα Νεϛοριανὸν ϗ ἄκοντα ἀναδεῖξαι, ἐν οἷς ȣ̓κ ἀπαθῶς περὶ αὐτȣ̃ πολλάκις διεῤῥαψῴδησεν, ἀκμὴν ἤδη τοῖς ϗ ὁπωσȣ̃ν συνιέναι δυναμένοις φανερόν. Σὺ δέ μοι ὅρα βȣληθεὶς περὶ τȣ́τȣ ϗ Δȣπίνιον τὸν Γάλλον ἐν τῷ περὶ τῶν Ἐκκλησιας. Συγγραφ. Τόμ. Δ΄. Σελ. 103-105. Καὶ τὸν πολυΐϛορα Γερμανὸν Ἰωάννην Ἄλβερτ. Φαβρίκιον ἐν τῇ Ἑλλην. Βιβλιοθ. Τεύχει Ζ΄. Σελ. 437. ὃς ταὐτὰ καὶ περὶ τῆς τῷ Σποραкίῳ ἐπιγεγραμμένης Ἐπιϛολῆς ἀποφαίνεται, ἥτις τῷ ΙΒ΄. Κεφ· τȣ̃ Δ΄. Βιβλ· τῶν περὶ Αἱρετ. κακομυθ. τὰ πολλὰ συμφθέγγεται.

Ἐπὶ τούτοις δὲ ἐκ τῶν Θεοδωρίτȣ σῳζομένων καταλέγονται διάφοροι ΛΟΓΟΙ καὶ ΕΠΙΣΤΟΛΑΙ.

Περὶ Προνοίας Λόγοι δέκα· ȣ̓̀ς ἐν Ἀντιοχείᾳ ἐκκλησιάζοντα ἐκμελετῆσαι συμβάλλȣσιν, οἱ μὲν κατὰ τὸ 430. οἱ δὲ κατὰ τὸ 433. ὧντε ϗ αὐτὸς ἐπιμνησθεὶς φαίνεται ἐν τῇ Ἐπιτομῇ τῶν θείων δογμάτων· ἤτοι ἐν τῷ Ε΄. τῶν περὶ τῆς Αἱρετ. κακομυθ. Κεφ΄. Ι΄. περὶ τὸ τέλος· ϗ ἐν Ψαλμ. ξζ΄. ἐδαφ. κβ΄. Καὶ ἐν Ἐπιϛ· πβ΄. Εὐσεβ. Ἀγκύρ· ϗ Ἐπιϛ· ριγ΄. τῷ Πάπᾳ Λέοντι. Περὶ ὧν δὴ ϗ Νικηφόρος ὁ Κάλλιστος, ἔνθ. ἀνωτ.

Λόγος περὶ τῆς θείας καὶ ἁγίας ἀγάπης, ὃν κατὰ τὸ 449. συγγράψας, οἱόντι ἐπισφράγισμα τῇ Φιλοθέῳ Ἱϛορίᾳ τȣ̃τον ἐπέθηκεν, ὡς ἐξ αὐτῶν τȣ̃ λόγȣ τῶν Προοιμίων πάρεϛι συμβαλεῖν.



Franckesche Stiftungen zu Halle

Κατὰ Νεστορίου πρὸς Σποράκιον Ἐπιστολὴ, ἢ Βιβλίον ἢ Λόγος, ἐν ᾧ τὰ ἀπὸ τῆς ἀρχῆς ἄχρι σχεδὸν τῶν μέσων, τοῖς ἐν τῷ ΙΒʹ. τοῦ Δʹ. τῶν περὶ Αἱρετ. κακομυθίας ἀπαραλλάκτως ἐστὶ ταὐτὰ ἐπὶ λέξεως.

Τῶν δὲ Θεοδωρίτου Ἐπιστολῶν πρὸς διαφόρους, τῶν πεντακοσίων ἐπέκεινα ὑπὸ Νικηφόρου τοῦ Καλλίστου (ἔνθ. ἀνωτ.) ἀριθμουμένων, μόλιστπου τὸ τριτημόριον καθ' ἡμᾶς εἰσὶν αἱ σωζόμεναι. Καὶ γὰρ αἱ ἐμοῦ ᾶς ἁπάσας ἐπὶ τὴν Ἐπισκοπὴν ἤδη προβιβασθεὶς φαίνεται ἐπιστείλας· αἷς συγκαταλεκτέα ἑκατοστὴ τεσσαρακοστὴ ἑβδόμη, ἡ μετὰ τὴν Λῃστρικὴν Σύνοδον Ἰωάννῃ γραφεῖσα τῷ Ἐπισκόπῳ Γερμανικείας. Ἐπὶ δὲ ταύταις καὶ ἄλλαι τὸν ἀριθμὸν λδʹ. αἱ ὑπὸ Γαρνερίου ἐν τῷ Αὐκταρίῳ ἐκδοθεῖσαι· ὧν μέντοι αἱ πεντεκαίδεκα μόναι τὸ ἀναμφήριστον ἔχουσιν, ἔκτε τῶν Συνοδικῶν, καὶ τῶν Μαρίου τοῦ Μερκάτορος μαρτυρούμεναι. Καίτοι οὐδ' αὐταὶ ἀκεραίως αἱ πᾶσαι φέρονται. Ἀλλ' αἱ μὲν ἐν ἀποσπασματίοις τισὶν ἐπιδεικνῦσαι τὰ λείψανα, αἱ δὲ καὶ Λατινικῇ μόνον τῇ φράσει ἐξ ἑρμηνείας φθεγγόμεναι. Ἀλλὰ τὰ μὲν εἰς τόδε σωζόμενα τῶν τοῦ Θεοδωρίτου Συγγράμματα σχεδόντι ταῦτα. ἤδη δὲ

Καὶ λόγος τις, ὁ ἐν χειρογράφῳ Κώδικι, κατὰ τὴν ἐν Βιέννῃ Καισαρικὴν Βιβλιοθήκην ἄχρι τοῦδε λανθάνων, ὑπὸ δὲ Λαμβεκίου παρὰ Φαβρικίῳ ἔνθ· ἀνωτ. Σελ. 449. μαρτυρούμενος· οὗ ἡ μὲν ὑπόθεσις, ὅτι μετὰ τὴν ἐνανθρώπησιν εἷς Υἱὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς· ἡ δὲ ἀρχὴ: Οἱ τὰς καθ' ἡμῶν συκοφαντίας συντεθεικότες, κτ.

Καὶ Ἐπιστολὴ δὲ πρὸς τοὺς ἐν τῇ Εὐφρατησίᾳ, καὶ Ὀσροηνῇ, καὶ Συρίᾳ, καὶ Φοινίκῃ, καὶ Κιλικίᾳ Μονάζοντας· ἧς ἡ ἀρχὴ: Ὁρῶν τὴν ἐν τῷ παρόντι καιρῷ τῆς Ἐκκλησίας κατάστασιν· ἐν τῷ εἰρημένῳ Κώδικι κατὰ τὸν ἀνωτέρω λόγον καὶ αὕτη ἐμφερομένη· ὧν καὶ ἡ ἐν Φλωρεντίᾳ βιβλιοθήκη πλου-

τεῖν

Franckesche Stiftungen zu Halle

τεῖν τὰ Ἀντίγραφα μεμαρτύρηται. Ἃ δὴ Συγγράμματα, καὶ ἄλλα δ' ἐπὶ τοῖσδε τεμμάχια ἐπιμελῶς ἐκ παλαιῶν χειρογράφων ἀναλεξαμένους, ἐλπὶς τελεωτέραν ἡμῖν τὴν τῶν Συγγραμμάτων τοῦ Θεοδωρίτου Συλλογὴν παρέξειν τοὺς ἀρτίως ἐπιχειρήσαντας, μηδὲν μηδὲ πόνου δηλαδὴ φειδομένους μηδὲ δαπάνης, ὥστε τὴν ἐκ τῆς τυπογραφίας τοῦ ἐν τῇ Χάλῃ τῇ Μαγδεβουργικῇ Κλεινοῦ Ὀρφανοτροφείου προκύψασαν ταύτην ἔκδοσιν, μακρῷ τῷ μέσῳ καὶ τὴν εἰς τόδε πολλοῦ τιμωμένην Σιρμόνδιον, ὀπίσω καταλιπεῖν. Ἀλλὰ ταῦτα μέν, σὺν Θεῷ, ταύτῃ ἔσται.

Τὰ δὲ δι' ὅλου, ἢ ἐν μέρει, τῷ χρόνῳ ἐξίτηλα γεγονότα, ἢ καὶ διαμφισβητούμενα, ὡς οὐκ ἀνενδοιάστως τὸν Θεοδώριτον Πατέρα ἐπιγραφόμενα, καταλελεγμένα φέρεται τὰ ἑξῆς.

Προδιοίκησίστις, καί τινα Ἀποσπασμάτια εἰς τὴν Ἑρμηνείαν τῶν Ψαλμῶν, οἷς ὁ μὲν Γαρνέριος ἐν ἐπιθήκης μοίρᾳ τὸ Αὐκτάριον αὐτοῦ κατεπίανεν, ὁ δὲ Δουπίνιος τῶν τοῦ Θεοδωρίτου γνησίων ἀπεκήρυξεν.

Τεμμάχιόν τι ἐκ τῆς εἰς τὸν Λουκᾶν Ἑρμηνείας, ἀπότινος, ἢ δοκεῖ Σειρᾶς εἰλημμένον, κἀν ταῖς προσθήκαις ὑπὸ Γαρνερίου καὶ τόδε εἰσενεχθέν.

Ἐγκώμιον εἰς τὴν Γέννησιν τοῦ Προδρόμου, μέρος καὶ τοῦτο τοῦ Αὐκταρίου γινόμενον· ἐν ᾧ μάτην ἐμοὶ τῆς τῶν Θεοδωρίτου λόγων ζητουμένης συνθήκης, καὶ τῆς ἄλλης ἰδέας, πιθανώτερος ἐστὶ Λέων ὁ Ἀλλάτιος, ὁ Θεοδώρῳ τῷ Δαφνοπάτῃ τὸν λόγον ἀναγραφόμενος.

Ἐκλογαὶ ἐκ τῶν ε'. λόγων εἰς τὸν ἐν Ἁγίοις Ἰωάννην τὸν Χρυσόστομον· ἃς ἡμῖν ἀπέσωσε Φώτιος ἐν τῇ Βιβλιοθ. Κώδι. σογ'. εἰς τὴν τοῦ Αὐκταρίου καὶ αὐταὶ αὔξησιν συμβαλλόμεναι.

Λόγοι κζ'. πρὸς διαφόρους Θέσεις, οἱ παρὰ Φωτίῳ ἐν Κώδι. μς'. καταγραφόμενοι· ὧν μέντοι τοὺς ἀπὸ τοῦ ζ'. ἄχρι τοῦ ἐσχάτου, οἱ μὲν τοῖς

τοῦ Μεγάλου Ἀθανασίου Συγγράμμασι πρότερον συνεξέδωκαν· οἱ δὲ τῷ ὁμολογητῇ Μαξίμῳ ἀνέθεντο· οἱ δὲ τέως Εὐθερίου Ἐπισκόπου Τυάνων γόνους ἐνέκριναν, τοῦ τὰ Νεστορίου φρονήσαντος· οἷον Γαρνέριος, παρ' ᾧ κἀν τῷ Αὐκταρίῳ χώραν εὗρον, καὶ ἐξ αὐτοῦ ὁ Καβέος.

Πενταλόγιον περὶ ἐνανθρωπήσεως, τὸ κατὰ Κυρίλλου καὶ τῆς ἐν Ἐφέσῳ Συνόδου συγγραφέν· ἐν ᾧ τῶν ἀνωτέρω κζ΄. λόγων περιειλῆφθαι τοὺς ἓξ (τοῦ πέμπτου δηλονότι δύο τῶν ἐν ἐκείνοις συμπεριέχοντος·) μετὰ Γαρνέριον καὶ Καβέος ὑπείληφε, καὶ Φαβρίκιος. Πρόκειται δὲ κἀκ τούτου ἐν τῷ πολλάκις μνημονευθέντι Αὐκταρίῳ τινὰ ἀποσπάσματα.

Διάλογοι ζ΄. ὧν δύο μὲν κατὰ Ἀνομοίων· τρεῖς δὲ κατὰ Μακεδονίων· οἱ δὲ λοιποὶ δύο κατὰ Ἀπολιναριστῶν, κατὰ τοὺς Εὐθερίου τοῦ Τυάνων λόγους Ἀθανασίῳ, Μαξίμῳ, Θεοδωρίτῳ καὶ οὕτοι, ἄλλοις ἄλλως, ἀναγραφόμενοι· οὓς ἐν τῷ Αὐκταρίῳ καὶ αὐτοὺς ἐμφερομένους πάρεστι διελθεῖν.

Περὶ Θεολογίας, καὶ τῆς ἐν σαρκὶ τοῦ Λόγου οἰκονομίας βιβλία τινὰ, ἃ ταὐτὰ τοῖς ἀνωτέρω κατὰ Μακεδονιανῶν καὶ Ἀπολιναριστῶν ὁ Γαρνέριος ἔκρινεν.

Ἀπὸ δυοῖν Συγγραμμάτων, τοῦ μὲν κατὰ Σαβελλίου, τοῦ δὲ περὶ Τριάδος, Τεμμάχια δύο ἅλις διεξοδικὰ· ἃ Στέφανος μὲν ὁ Βαλούζιος ἐξεδίδου, ἐν Τόμ. Δ΄. τῶν αὐτοῦ Συμμιγμάτων, ἐπηνώρθου δὲ Κοτελέριος ἐν Γ΄. τῶν Ἀπομνημονευμ· τῆς Γραικ. Ἐκκλησ. παρὰ Φαβρικ. ἐν τῇ Ἑλληνικ. Βιβλιοθήκῃ. Τεύχ. Ζ΄. Σελ. 449.

Ὁμιλίαι δισσαὶ κατὰ τοῦ θείου Κυρίλλου, ἐν Χαλκηδόνι ῥηθεῖσαι Ἔτ. 431. ὧν δισσὰ μόρια ἐκ τῶν Πρακτι· τῆς Ε΄. Συνόδ. Λατινιστὶ μόνον περιφέρεται.

Ὁμιλία ἐν Ἀντιοχείᾳ ῥηθεῖσα ἐπ' ἀκροάσει Δόμνου τοῦ Ἀρχιεπισκόπου Ἔτει 444. ἐπὶ τῇ Κυρίλλου τελευτῇ· ἥτις καὶ παρά τισιν ἀμφιβάλλεται· φέρεται δὲ καὶ ἐκ ταύτης ἐν τοῖς Πρακτ. τῆς Ε΄. Συνόδ. Λατινιστὶ μόνον τεμμάχιον.

Συλ-

Franckesche Stiftungen zu Halle

Συλλογαὶ Κανόνων ἐν χειρογράφοις· ὧν ἐμνήσθη Σαλμάσιος ἐν τῷ περὶ τῆς ἀρχῆς τοῦ Πάπα· ϗ Ἰωσὴφ ὁ Σκαλίγερος ἐν τοῖς Σκαλιγερείοις παρὰ Φαβρικ. ἔνθ. ἀνωτ. Σελ. 448.

Ἀπολογίαι ὑπὲρ Διοδώρου τοῦ Ταρσέως, καὶ Θεοδώρου τοῦ Μοψουεστίας· ἐξ ὧν τινα ἐν τοῖς Πρακτ. ὁμοίως τῆς Ε΄. Συνόδ. παρὰ τῷ αὐτῷ αὐτόθι.

Κατὰ Ὠριγένους Συριστὶ λεγόμενον φέρεσθαι (εἴτι κἀν ταύτῃ τῇ Διαλέκτῳ ὑπὸ Θεοδωρίτου συγγέγραπται, ἢ ἀπὸ τῆς Ἕλληνος φωνῆς ἐπὶ τὴν Σύρων ἡρμήνευται.) Εἰκάζει γεμὴν, τόδε τὸ Θεοδωρίτῳ εἶναι κατὰ τῶν Αἱρέσεων συνταχθὲν, Ῥίχαρδος ὁ Σιμόνιος παρὰ Φαβρικίῳ αὐτ. Σελ. 449.

Κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου τοῦ Ἀλεξανδρείας περὶ ἐνσαρκώσεως· τὸ ὑπὸ Γενναδίου ἐν Κεφ· πθ΄. Ἰσχυρὸν εἰρημένον Σύγγραμμα καὶ σφοδρὸν· ἐξ οὗτινα ἀναγινώσκεται ἐν τῇ εἰς τὸν Λουκᾶν Σειρᾷ τοῦ Νικήτα, ἣν ἐξέδωκεν ὁ Κορδέριος· ϗ ἐν τῇ Βιβλιοθήκῃ δὲ τῶν Ἐκκλησιαζόντων, ἣν συνείλοχεν ὁ Κομβεφίσιος· Παρὰ Φαβρικ· αὐτ.

Κατὰ Μαρκίωνος, καθ᾽ ἧς αἱρέσεως ὁ Θεοδώριτος πολλὰ ϗ λόγοις ϗ ἔργοις ἠγώνισαι, ὥστε πρόῤῥιζον ἀνασπάσαι, κατὰ τῆς λαχούσης αὐτῷ μάλιστα ἐκκλησίας ἀκολασταίνουσαν· ὡς ἰδεῖν ἐστὶ Φιλοθ. Ἱστορ· Κεφ· κα΄. μέμνηται δὲ τοῦ πονήματος αὐτὸς τούτου ϗ Ἐπιστ. πβ΄. Εὐσεβ. Ἀγκύρ· ϗ ριϛ΄. Ῥενάτ. Πρεσβυτ. ϗ ρμε΄. τοῖς ἐν Κωνσταντινουπόλει Μονάζουσι.

Κατὰ Ἰουδαίων, ὡς ἐν Ἐπιστολαῖς δηλοῦται ριγ΄. ϗ ριϛ΄. ϗ ρμε΄.

Κατὰ τῶν παρὰ Πέρσαις Μάγων, ὧν τὴν μυθολογίαν ἐν ἰδίῳ αὐτὸς Συγγράμματι δεδηλωκέναι φησὶ, ϗ προσενεγκεῖν τὴν λύσιν ταῖς τούτων πεύσεσιν. Ἐκκλησι· Ἱστορ· Βιβλ. Ε΄. Κεφ· λη΄. ἐμνήσθη δὲ τοῦ αὐτοῦ Πονήματος ϗ ἐν Ἐπιστ. πβ΄. ϗ ριγ΄.

Ἔκθεσις τῶν Μυστηρίων τῆς Πίστεως· ἧς αὐτὸς ὁμοίως ἐν ε΄. Βιβλ· τῆς Αἱρετι· κακομυθ· Κεφ· ιη΄. μνείαν ποιεῖται, ἐπὶ τοὺς δέκα καὶ δύο

μυστι-

Franckesche Stiftungen zu Halle

μυστικοὺς λόγους οὓς ἐτύγχανε συγγεγραφὼς τοὺς φιλομαθεῖς ἀναπέμπων· καὶ ἐν Ἐπιστ. πβ΄. μυστικὴ δὲ (λέγων) ἡμῖν συγγέγραπται βίβλος. κτ.

Ἐπὶ δὲ πᾶσι, πρὶν ἢ πέρας ἐπιθέσθαι τῷ Καταλόγῳ, σημειωτέον, ὅτι τῶν Ἐπιστολῶν Θεοδωρίτου, καί τοι πολλὰς ἴσμεν ἀφανισθείσας, ὡς ὑπὲρ τὰς πεντακοσίας ποτὲ, καθάπερ εἴρηται, ἀριθμουμένων· (οὐ γὰρ προσεκτέον τῷ Ἰησουΐτῃ Γαρνερίῳ, περὶ Βιβλ· Θεοδωρ. Διαλέξ. Β΄. §. ε΄. τὰς πεντακοσίας ἀντὶ τοῦ πολλὰς λελέχθαι ὑπονοήσαντι, οἷον εἰ καί τις Λατινίζων sexcentas φήσειεν. Εἰς γὰρ πλῆθους ἀορίστου σημασίαν τὰ μυρία παροξυτόνως λέγειν ἢ τὰ ψαμμακόσια, Ἑλλήνων παῖδας, δῆλον τοῖς καὶ ὁπωστοῦν τῆς τούτων φωνῆς ἐπαΐουσιν.) Ἀλλ' οὐκ αὐτίκα παρὰ τὰς ἀνωτέρω καταλεχθείσας αἷς τὸ ἀναμφήριστον πρόσεστιν, ἁπάσας ὅσαι ὑπὸ τῷ ἐκείνου φέρονται ὀνόματι, ἐγκριτέον. Ἀμέλει τοι ἡ Ἰωάννῃ ἐπιγεγραμμένη τῷ Ἀντιοχείας ἐπὶ τῇ τελευτῇ τοῦ μακαρίου Κυρίλλου, αὐτόθεν τῆς ὑποβολῆς τὸ δεῖγμα σαφὲς παρίστησι. Πῶς γὰρ εἶχε τὴν Κυρίλλου ἀποβίωσιν ἐξαγγέλλειν, τῷ πρὸ ἑπταετίας ἤδη τὸ ζῆν μεταλλάξαι φθάσαντι; δῆλον οὖν ὅτι τῆς τῶν Νεστοριανῶν κακοπλαστίας ἦν ἡ συνθήκη. Τῆς δ' αὐτῆς εἰσὶ ζύμης καὶ αἱ μεταξὺ Θεοδωρίτου καὶ Νεστορίου ἀμοιβαῖαι πλαττόμεναι, ἃς φθάσας ἐν τῷ περὶ Αἱρέσεων Σελ. 454. ὁ Λεόντιος ἐξωβέλισεν· Ἰστέον (φάσκων) ὅτι φέρονταί τινες Ἐπιστολαὶ Θεοδωρίτου καὶ Νεστορίου, ἐν αἷς ἀλλήλους ἀποδέχονται. Πλασταὶ δὲ εἰσί. Πλάττουσι δὲ αὐτὰς οἱ Αἱρετικοί, τοῦ μάχεσθαι δι' αὐτῶν πρὸς τὴν Σύνοδον.

Franckesche Stiftungen zu Halle